Λῦτο δ' ἀγών, λαοὶ δὲ θοὰϲ ἐπὶ νῆαϲ ἕκαϲτοι
Ω ἐϲκίδναντ' ἰέναι. τοὶ μὲν δόρποιο μέδοντο
Ω ὕπνου τε γλυκεροῦ ταρπήμεναι· αὐτὰρ Ἀχιλλεὺϲ
Ω κλαῖε φίλου ἑτάρου μεμνημένοϲ, οὐδέ μιν ὕπνοϲ
Ω ᾕρει πανδαμάτωρ, ἀλλ' ἐϲτρέφετ' ἔνθα καὶ ἔνθα
Ω — Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένοϲ ἠΰ,
Ω — ἠδ' ὁπόϲα τολύπευϲε ϲὺν αὐτῷ καὶ πάθεν ἄλγεα,
Ω — ἀνδρῶν τε πτολέμουϲ ἀλεγεινά τε κύματα πείρων.
Ω — τῶν μιμνηϲκόμενοϲ θαλερὸν κατὰ δάκρυον εἶβεν,
Ω ἄλλοτ' ἐπὶ πλευρὰϲ κατακείμενοϲ, ἄλλοτε δ' αὖτε
Ω ὕπτιοϲ, ἄλλοτε δὲ πρηνήϲ· τοτὲ δ' ὀρθὸϲ ἀναϲτὰϲ
Ω δινεύεϲκ' ἀλύων παρὰ θῖν' ἁλόϲ. οὐδέ μιν ἠὼϲ
Ω φαινομένη λήθεϲκεν ὑπεὶρ ἅλα τ' ἠϊόναϲ τε,
Ω ἀλλ' ὅ γ' ἐπεὶ ζεύξειεν ὑφ' ἅρμαϲιν ὠκέαϲ ἵππουϲ,
Ω > Ἕκτορα δ' ἕλκεϲθαι δηϲάϲκετο δίφρου ὄπιϲθεν·
Ω τρὶϲ δ' ἐρύϲαϲ περὶ ϲῆμα Μενοιτιάδαο θανόντοϲ
Ω > αὖτιϲ ἐνὶ κλιϲίῃ παυέϲκετο, τόνδε δ' ἔαϲκεν
Ω > ἐν κόνι ἐκτανύϲαϲ προπρηνέα. τοῖο δ' Ἀπόλλων
Ω πᾶϲαν ἀεικείην ἄπεχε χροΐ, φῶτ' ἐλεαίρων
Ω — καὶ τεθνηότα περ· περὶ δ' αἰγίδι πάντα κάλυπτε
Ω — χρυϲείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυϲτάζων.
Ω ὣϲ ὃ μὲν Ἕκτορα δῖον ἀείκιζεν μενεαίνων·
Ω τὸν δ' ἐλεαίρεϲκον μάκαρεϲ θεοὶ εἰϲορόωντεϲ,
Ω κλέψαι δ' ὀτρύνεϲκον ἐΰϲκοπον Ἀργειφόντην.
Ω — ἔνθ' ἄλλοιϲ μὲν πᾶϲιν ἑήνδανεν, οὐδέ ποθ' Ἥρῃ
Ω — οὐδὲ Ποϲειδάων' οὐδὲ γλαυκώπιδι κούρῃ·
Ω — ἀλλ' ἔχον, ὥϲ ϲφιν πρῶτον ἀπήχθετο Ἴλιοϲ ἱρὴ
Ω — καὶ Πρίαμοϲ καὶ λαὸϲ Ἀλεξάνδρου ἕνεκ' ἄτηϲ,

---

*Codd.* Ω = A (a: 405-504) D (d: 1-85 219-83 317-48 754-804) T E (om. 718-804) F h M N (om. *296-313 homoeoteleuto*) O V.

**6** ἀδροτῆτα h (== Π 857) ‖ **7** τολύπευ[ϲ]ε F (≈ 20) ‖ ἄλγεα Ω 𝔓9 𝔓998 (= α 4) : ἔργα $T^s$ 𝔓1011b (= Σ 77) ‖ **8** περνῶν V, πειρῶν Z, $Pamphilus^s$ (≈ 74) ‖ **10** πλευρᾶϲ hOV (≈ 578), πλευρὰ T (~= ρ 232app.) ‖ **11** δὲ et 𝔓998 : δὴ A 𝔓9 (== Ι 328), om. d ‖ **17** τόνδε δ' et $N^t$ 𝔓998 (cf Ruijgh 702) : τὸν δέ (τ') MN (𝔓9) (~~ Π 96) ‖ **18** κόνει h (≈ 706, == λ 191) κονίη(ι)! dMNV ‖ ... [ἐκ]τανύϲαϲ V, Brandreth (~ Ψ 25) ‖ **20** κάλυψε $A^tW$ (= Ψ 189 ≈ 599) ‖ **20/1** αἰγίδα .. χρυϲείην $T^i$ $Ar^s$ (cf κ 542 ἀμφὶ δέ με χλαῖναν ... ἕϲϲεν, ≈ 164) **28** ἄτηϲ Ω $Ar^T$ : ἀρχῆϲ $A^tW$ 𝔓998 (== Γ 100) ‖

– ὃϲ νείκεϲϲε θεάϲ, ὅτε οἱ μέϲϲαυλον ἵκοντο,
– τὴν δ' ᾔνηϲ', ἥ οἱ πόρε μαχλοϲύνην ἀλεγεινήν.
ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠώϲ,
καὶ τότ' ἆρ ἀθανάτοιϲι μετηύδα Φοῖβοϲ Ἀπόλλων·
«ϲχέτλιοί ἐϲτε, θεοί, δηλήμονεϲ· οὔ νύ ποθ' ὕμιν
Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων;
τὸν νῦν οὐκ ἔτλητε νέκυν περ ἐόντα ϲαῶϲαι,
ᾗ τ' ἀλόχῳ ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ᾧ
καὶ πατέρι Πριάμῳ λαοῖϲί τε, τοί κέ μιν ὦκα
> ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίϲαιεν.
ἀλλ' ὀλοῷ Ἀχιλῆϊ, θεοί, βούλεϲθ' ἐπαρήγειν,
ᾧ οὔτ' ἆρ φρένεϲ εἰϲὶν ἐναίϲιμοι οὔτε νόημα
γναμπτὸν ἐνὶ ϲτήθεϲϲι· λέων δ' ὣϲ ἄγρια οἶδεν,
ὅϲ τ' ἐπεὶ ἆρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ
εἴξαϲ εἶϲ' ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβῃϲιν·
ὣϲ Ἀχιλεὺϲ ἔλεον μὲν ἀπώλεϲεν, οὐδέ οἱ αἰδὼϲ
– γίνεται, ἥ τ' ἄνδραϲ μέγα ϲίνεται ἠδ' ὀνίνηϲι.
> μέλλει μέν πού τιϲ καὶ φίλτερον ἄλλον ὀλέϲϲαι,
> ἠὲ καϲίγνητον ὁμογάϲτριον ἠὲ καὶ υἱόν·
ἀλλ' ἤτοι κλαύϲαϲ καὶ ὀδυράμενοϲ μεθέηκε·
τλητὸν γὰρ Μοῖραι θυμὸν θέϲαν ἀνθρώποιϲιν.
αὐτὰρ ὅ γ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων περὶ ϲῆμ' ἑτάροιο φίλοιο
ἕλκει· οὐ μήν οἱ τό γε κάλλιον οὐδέ τ' ἄμεινον.
μὴ ἀγαθῷ περ ἐόντι νεμεϲϲηθῶμέν οἱ ἡμεῖϲ·
> κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.»
τὸν δὲ χολωϲαμένη προϲέφη λευκώλενοϲ Ἥρη·
«εἴη κεν καὶ τοῦτο τεὸν ἔποϲ, ἀργυρότοξε,
εἰ δὴ ὁμὴν Ἀχιλῆϊ καὶ Ἕκτορι θήϲετε τιμήν.
> Ἕκτωρ μὲν θνητόϲ τε γυναῖκά τε θήϲατο μαζόν·
αὐτὰρ Ἀχιλλεύϲ ἐϲτι θεᾶϲ γόνοϲ, ἣν ἐγὼ αὐτὴ
θρέψα τε καὶ ἀτίτηλα καὶ ἀνδρὶ πόρον παράκοιτιν,
Πηλεῖ, ὃϲ περὶ κῆρι φίλοϲ γένετ' ἀθανάτοιϲι.

**30** ἥ οἱ κεχαριϲμένα δῶρ' ὀνόμηνε Aph^s pol.^s (cf ω 341s ὀνόμηναϲ δώϲειν, ↖ Valk Odyssey 15) ‖ **33** οὐ νύ et A^tA^m (𝔓998) : οὐδέ A (= 25) ‖ **35** τὸν : τῷ V (~= 428) ‖ **38** κτερίϲειαν dFO, ↖ A^t+, κτερεουϲιν 𝔓998 (~ X 336) ‖ **43** εἴξηιϲ', εἶϲ' A^s ratione allata ‖ **48** ὀδυρόμενοϲ A^mTFOV 𝔓998 (= 128, ≈ 661) ‖ **53** νεμεϲϲηθῶμέν οἱ Ω 𝔓998 (Chantraine 64) : νεμεϲϲηθέωμέν οἱ Ar^t, νεμεϲϲηθείομεν Hermann ‖ **58** θήκατο T (~ Ξ 187) ‖ **59** γόνοϲ Ω 𝔓998 : πάϊϲ T^s "ἐπὶ προγόνων ἐϲτὶ τὸ γόνοϲ" (cf Z 191) ‖ **61** πηλέϊ V (~~ A 489, ≈ 259) ‖



πάντεϲ δ' ἀντιάαϲθε, θεοί, γάμου· ἐν δὲ ϲὺ τοῖϲι
δαίνυ' ἔχων φόρμιγγα, κακῶν ἕταρ', αἰὲν ἄπιϲτε.»
τὴν δ' ἀπαμειβόμενοϲ προϲέφη νεφεληγερέτα Ζεύϲ·
«Ἥρη, μὴ δὴ πάμπαν ἀποϲκύδμαινε θεοῖϲιν·
οὐ μὲν γὰρ τιμή γε μί' ἔϲϲεται. ἀλλὰ καὶ Ἕκτωρ
φίλτατοϲ ἔϲκε θεοῖϲι βροτῶν, οἳ ἐν Ἰλίῳ εἰϲίν·
ὣϲ γὰρ ἔμοιγ', ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων.
οὐ γάρ μοί ποτε βωμὸϲ ἐδεύετο δαιτὸϲ ἐΐϲηϲ
λοιβῆϲ τε κνίϲηϲ τε· τὸ γὰρ λάχομεν γέραϲ ἡμεῖϲ.
– ἀλλ' ἤτοι κλέψαι μὲν ἐάϲομεν, οὐδέ πῃ ἐϲτὶ
– λάθρῃ Ἀχιλλῆοϲ, θραϲὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεὶ
– μήτηρ παρμέμβλωκεν ὁμῶϲ νύκταϲ τε καὶ ἦμαρ.
> ἀλλ' εἴ τιϲ καλέϲειε θεῶν Θέτιν ἆϲϲον ἐμεῖο,
ὄφρα τί οἱ εἴπω πυκινὸν ἔποϲ, ὥϲ κεν Ἀχιλλεὺϲ
δώρων ἐκ Πριάμοιο λάχῃ ἀπό θ' Ἕκτορα λύϲῃ.»
> ὣϲ ἔφατ'· ὦρτο δὲ Ἶριϲ ἀελλόποϲ ἀγγελέουϲα.
> μεϲϲηγὺϲ δὲ Ϲάμου τε καὶ Ἴμβρου παιπαλοέϲϲηϲ
ἔνθορε μείλανι πόντῳ· ἐπεϲτενάχηϲε δὲ λίμνη.
ἡ δὲ μολυβδαίνῃ ἰκέλη ἐϲ βυϲϲὸν ὄρουϲεν,
ἥ τε κατ' ἀγραύλοιο βοὸϲ κέραϲ ἐμβεβαυῖα
ἔρχεται ὠμηϲτῇϲιν ἐπ' ἰχθύϲι κῆρα φέρουϲα.
εὗρε δ' ἐνὶ ϲπῆϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δέ τ' ἄλλαι
εἵαθ' ὁμηγερέεϲ ἅλιαι θεαί· ἣ δ' ἐνὶ μέϲϲηϲ
κλαῖε μόρον οὗ παιδὸϲ ἀμύμονοϲ, ὅϲ οἱ ἔμελλε
– φθίϲεϲθ' ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρηϲ.
ἀγχοῦ δ' ἱϲταμένη προϲέφη πόδαϲ ὠκέα Ἶριϲ·
«ὄρϲο Θέτι· καλέει Ζεὺϲ ἄφθιτα μήδεα εἰδώϲ.»
τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτιϲ ἀργυρόπεζα·
«τίπτε με κεῖνοϲ ἄνωγε μέγαϲ θεόϲ; αἰδέομαι δὲ
μίϲγεϲθ' ἀθανάτοιϲιν, ἔχω δ' ἄχε' ἄκριτα θυμῷ.
εἶμι μέν, οὐδ' ἅλιον ἔποϲ ἔϲϲεται, ὅττι κεν εἴπῃ.»

**64** τὴν δὲ μέγ' ὀχθήϲαϲ T^t (= Δ 30!, == 138) ‖ **66** γε μί' Ω : γ' ὁμὴ Herwerden (~ 57) ‖ **71** ἐάϲομεν Ω(Z) 𝔓998 : ἀμήχανον Antim.^s (= Ξ 262) ‖ **72** ἦ : εὖ comm.^s, ἡ A^λd ‖ **74** θέων A^s (== Υ 53, ≈ 566) ‖ **79** ἐπεϲτενάχηϲε ATF(h)MN : ἐπεϲτενάχιζε dO 𝔓998, ἐπεϲτονάχηϲε EV (~~ 512) ‖ **80** βυθὸν dhOV (= Batr. 119) ‖ **81** ἐμμεμαυῖα A^tdRZ, Plato Ion 538d (= E 838, ~ E 199) ‖ **82** κῆρα Ω : πῆμα pol.^s "ἄτοπον γὰρ ἐπ' ἰχθύων κῆρα λέγειν", Plato (↖ Γ 6) ‖ **83** εὗρεν δ' ἐν TE (~~ I 53 δ 127 ἐν/ἐνὶ) ‖ δέ τ' (Ruijgh 697) : δε F' Brandreth (~~ Λ 437), δ' ἆρ AE (= ρ 33, ~~ I 324 υ 252) ‖ **84** εἷαθ' dN Ar^s (== O 10) ‖ μέϲϲαιϲ hV (≈ A 238) ‖ **85** οἱ : τάχ' Rhianus^t (= υ 393) ‖

Ω 93 ὣς ἄρα φωνήcαcα κάλυμμ' ἕλε δῖα θεάων
Ω 94 κυάνεον, τοῦ δ' οὔ τι μελάντερον ἔπλετο ἔcθοc.
Ω 95 βῆ δ' ἰέναι, πρόcθεν δὲ ποδήνεμοc ὠκέα Ἶριc
Ω 96 ἡγεῖτ'· ἀμφὶ δ' ἄρα cφι λιάζετο κῦμα θαλάccηc.
Ω 97 ἀκτὴν δ' εἰcαναβᾶcαι ἐc οὐρανὸν ἀιχθήτην·
Ω 98 εὗρον δ' εὐρύοπα Κρονίδην, περὶ δ' ἄλλοι ἅπαντεc
Ω 99 εἵαθ' ὁμηγερέεc μάκαρεc θεοὶ αἰὲν ἐόντεc.
Ω 100 > ἣ δ' ἄρα πὰρ Διὶ πατρὶ καθέζετο, εἶξε δ' Ἀθήνη.
Ω 101 Ἥρη δὲ χρύcεον καλὸν δέπαc ἐν χερὶ θῆκε
Ω 102 καί ῥ' εὔφρην' ἐπέεccι· Θέτιc δ' ὤρεξε πιοῦcα.
Ω 103 τοῖcι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ω 104 > «ἤλυθεc Οὔλυμπόνδε, θεὰ Θέτι, κηδομένη περ,
Ω 105 πένθοc ἄλαcτον ἔχουcα μετὰ φρεcίν· οἶδα καὶ αὐτόc.
Ω 106 ἀλλὰ καὶ ὣc ἐρέω, τοῦ c' εἵνεκα δεῦρο κάλεccα.
Ω 107 ἐννῆμαρ δὴ νεῖκοc ἐν ἀθανάτοιcιν ὄρωρεν
Ω 108 > Ἕκτοροc ἀμφὶ νέκυι καὶ Ἀχιλλῆι πτολιπόρθῳ·
Ω 109 > κλέψαι δ' ὀτρύνεcκον ἐΰcκοπον Ἀργειφόντην.
Ω 110 > αὐτὰρ ἐγὼ τόδε κῦδοc Ἀχιλλῆι προτιάπτω,
Ω 111 αἰδῶ καὶ φιλότητα τεὴν μετόπιcθε φυλάccων.
Ω 112 αἶψα μάλ' ἐc cτρατὸν ἐλθὲ καὶ υἱέι cῷ ἐπίτειλον·
Ω 113 cκύζεcθαί οἱ εἰπὲ θεούc, ἐμὲ δ' ἔξοχα πάντων
Ω 114 ἀθανάτων κεχολῶcθαι, ὅτι φρεcὶ μαινομένῃcιν
Ω 115 Ἕκτορ' ἔχει παρὰ νηυcὶ κορωνίcιν οὐδ' ἀπέλυcεν,
Ω 116 αἴ κέν πωc ἐμέ τε δείcῃ ἀπό θ' Ἕκτορα λύcῃ.
Ω 117 αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήcω,
Ω 118 λύcαcθαι φίλον υἱόν, ἰόντ' ἐπὶ νῆαc Ἀχαιῶν,
Ω 119 δῶρα δ' Ἀχιλλῆι φερέμεν τά κε θυμὸν ἰήνῃ.»
Ω 120 ὣc ἔφατ', οὐδ' ἀπίθηcε θεὰ Θέτιc ἀργυρόπεζα·
Ω 121 > βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀίξαcα,
Ω 122 ἷξεν δ' ἐc κλιcίην οὗ υἱέοc. ἔνθ' ἄρα τόν γε
Ω 123 εὗρ' ἀδινὰ cτενάχοντα· φίλοι δ' ἀμφ' αὐτὸν ἑταῖροι
Ω 124 > ἐccυμένωc ἐπένοντο καὶ ἐντύνοντο ἄριcτον·
Ω 125 τοῖcι δ' ὄιc λάcιοc μέγαc ἐν κλιcίῃ ἱέρευτο.

97 ἐξαναβᾶcαι Ar[t] (cf δ 405 ἀλὸc ἐξαναδῦcαι, ≈ 238, ↖ Σ 68) ‖ 109 ὀτρύνεcκον Ω (= 24) : ὀτρύνουcιν 𝔓998 Mass.[s] Chia[s] (= τ 158, ≈ 482) ‖ 110 προ[τ]ιάπτω MN Ar[t] Ze[s] (~ Α 3, ~~ Ζ 487), Ar[s]/comm. coll. προϊάλλω (~ Λ 3), ↖ Apollod.[s] ‖ 119 (= 147) om. 𝔓998 ‖ 122 ἔνθ' ADV 𝔓998 (= Σ 522) : ἐν δ' et A[t] (= Σ 494, == Ψ 777) ‖ 124 ἐντύνοντ' Athenaeus 1, 11c, Clarke (== π 2) ‖ 125 κλιcιηιc 𝔓998, ↖ Ar[t]+ (= Τ 179, =~ Τ 316, == π 1) ‖



Ω 126 ἣ δὲ μάλ' ἄγχ' αὐτοῖο καθέζετο πότνια μήτηρ,
Ω 127 χειρί τέ μιν κατέρεξεν ἔποc τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
Ω 128 «τέκνον ἐμόν, τέο μέχριc ὀδυρόμενοc καὶ ἀχεύων
Ω 129 cὴν ἔδεαι κραδίην, μεμνημένοc οὔτε τι cίτου
Ω 130 – οὔτ' εὐνῆc; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
Ω 131 – μίcγεcθ'· οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη
Ω 132 – ἄγχι παρέcτηκεν θάνατοc καὶ μοῖρα κραταιή.
Ω 133 ἀλλ' ἐμέθεν ξύνεc ὦκα, Διὸc δέ τοι ἄγγελόc εἰμι·
Ω 134 > cκύζεcθαί cοι φηcὶ θεούc, ἐὲ δ' ἔξοχα πάντων
Ω 135 ἀθανάτων κεχολῶcθαι, ὅτι φρεcὶ μαινομένῃcιν
Ω 136 Ἕκτορ' ἔχειc παρὰ νηυcὶ κορωνίcιν οὐδ' ἀπέλυcαc.
Ω 137 ἀλλ' ἄγε δὴ λῦcον, νεκροῖο δὲ δέξαι ἄποινα.»
Ω 138 τὴν δ' ἀπαμειβόμενοc προcέφη πόδαc ὠκὺc Ἀχιλλεύc·
Ω 139 «τῇδ' εἴη· ὃc ἄποινα φέροι, καὶ νεκρὸν ἄγοιτο,
Ω 140 εἰ δὴ πρόφρονι θυμῷ Ὀλύμπιοc αὐτὸc ἀνώγει.»
Ω 141 > ὣc οἵ γ' ἐν νηῶν ἀγύρει μήτηρ τε καὶ υἱὸc
Ω 142 πολλὰ πρὸc ἀλλήλουc ἔπεα πτερόεντ' ἀγόρευον.
Ω 143 > Ἶριν δ' ὤτρυνε Κρονίδηc εἰc Ἴλιον ἱρήν·
Ω 144 > «βάcκ' ἴθι, Ἶρι ταχεῖα· λιποῦc' ἕδοc Οὐλύμποιο
Ω 145 > ἄγγειλον Πριάμῳ μεγαλήτορι Ἴλιον εἴcω,
Ω 146 λύcαcθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆαc Ἀχαιῶν,
Ω 147 δῶρα δ' Ἀχιλλῆι φερέμεν τά κε θυμὸν ἰήνῃ,
Ω 148 οἶον, μηδέ τιc ἄλλοc ἅμα Τρώων ἴτω ἀνήρ.
Ω 149 κῆρύξ τίc οἱ ἕποιτο γεραίτεροc, ὅc κ' ἰθύνοι
Ω 150 ἡμιόνουc καὶ ἄμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτιc
Ω 151 > νεκρὸν ἄγοι προτὶ ἄcτυ, τὸν ἔκτανε δῖοc Ἀχιλλεύc.
Ω 152 μηδέ τί οἱ θάνατοc μελέτω φρεcὶ μηδέ τι τάρβοc·
Ω 153 τοῖον γάρ οἱ πομπὸν ὀπάccομεν Ἀργειφόντην,
Ω 154 ὃc ἄξει εἵωc κεν ἄγων Ἀχιλῆι πελάccῃ.
Ω 155 αὐτὰρ ἐπὴν ἀγάγῃcιν ἔcω κλιcίην Ἀχιλῆοc,
Ω 156 οὔτ' αὐτὸc κτενέει ἀπό τ' ἄλλουc πάνταc ἐρύξει·
Ω 157 οὔτε γάρ ἐcτ' ἄφρων οὔτ' ἄcκοποc οὔτ' ἀλιτήμων,
Ω 158 ἀλλὰ μάλ' ἐνδυκέωc ἱκέτεω πεφιδήcεται ἀνδρόc.»

129 οὔτε : οὐδέ AF[1]MNO (== 566) ‖ 131 βίη(ι) V (↖ Π 852) ‖ 138 τὴν δὲ μέγ' ὀχθήcαc T[s] (= Σ 97, == Α 560, ≈ Α 73) ‖ 139 τῇι εἴη ὃc δῶρα φέρει A[t] (~ Ι 515) ‖ ἄροιτο MN, ↖ N[t] (= Υ 247, cf κ 84 ἐξήρατο) ‖ 148 οἷοc T[s], ↖ A[t]+ (== 177) ‖ 149 ἰθύνῃ(ι) h (Eu) (≈ 263), ἰθύνει DMNOV (≈ Γ 221 α 117) ‖ 150 ἅμαξαν ADF, A[m] διχῶc : ἄμαξαν (== 263) ‖ ἠδὲ EFhO : ἠ δὲ AN[t] (== ε 391, ~= Ε 520), ἤ κε A[t]DTMN(V) (~ ζ 37!) ‖ 154 ὅc ‹c› DV (== 183), ὅc F' Brandreth (≈ Α 365 α 204) ‖

Ω 159 ὣς ἔφατ', ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα.
Ω 160 ἷξεν δ' ἐς Πριάμοιο, κίχεν δ' ἐνοπήν τε γόον τε.
Ω 161 παῖδες μὲν πατέρ' ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆς
Ω 162 δάκρυσιν εἵματ' ἔφυρον, ὃ δ' ἐν μέσσοισι γεραιὸς
Ω 163 > ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος· ἀμφὶ δὲ πολλὴ
Ω 164 > κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντος,
Ω 165 τήν ῥα κυλινδόμενος καταμήσατο χερσὶν ἑῇσι.
Ω 166 θυγατέρες δ' ἀνὰ δώματ' ἰδὲ νυοὶ ὠδύροντο
Ω 167 τῶν μιμνησκόμεναι, οἳ δὴ πολέες τε καὶ ἐσθλοὶ
Ω 168 χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.
Ω 169 στῆ δὲ παρὰ Πρίαμον Διὸς ἄγγελος ἠδὲ προσηύδα
Ω 170 τυτθὸν φθεγξαμένη· τὸν δὲ τρόμος ἔλλαβε γυῖα·
Ω 171 «θάρσει, Δαρδανίδη Πρίαμε, φρεσί, μηδέ τι τάρβει·
Ω 172 > οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἱκάνω,
Ω 173 ἀλλ' ἀγαθὰ φρονέουσα· Διὸς δέ τοι ἄγγελός εἰμι,
Ω 174 ※ ὅς σευ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ' ἐλεαίρει.
Ω 175 λύσασθαί σ' ἐκέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον,
Ω 176 δῶρα δ' Ἀχιλλῆϊ φερέμεν τά κε θυμὸν ἰήνῃ,
Ω 177 οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
Ω 178 κῆρύξ τίς τοι ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
Ω 179 ἡμιόνους καὶ ἄμαξαν ἐύτροχον, ἠδὲ καὶ αὖτις
Ω 180 > νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
Ω 181 μηδέ τί τοι θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος·
Ω 182 τοῖος γάρ τοι πομπὸς ἅμ' ἕψεται Ἀργειφόντης,
Ω 183 ὅς σ' ἄξει, εἷως κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.
Ω 184 > αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
Ω 185 οὔτ' αὐτὸς κτενέει ἀπό τ' ἄλλους πάντας ἐρύξει·
Ω 186 οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων,
Ω 187 ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.»
Ω 188 ἣ μὲν ἄρ ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις,
Ω 189 αὐτὰρ ὅ γ' υἷας ἄμαξαν ἐύτροχον ἡμιονείην
Ω 190 ὁπλίσαι ἠνώγει, πείρινθα δὲ δῆσαι ἐπ' αὐτῆς.
Ω 191 αὐτὸς δ' ἐς θάλαμον κατεβήσετο κηώεντα,

---

**163** ἐν Ω : ἤ(ι) T[s] (cf Π 790 ἠέρι ... κεκαλυμμένος) || **164** κεφαλήν τε καὶ αὐχένα T (≈ 279) || **165** κατεμήσατο AMNV 𝔓998 𝔓1013 (≈ Β 269) || χερσὶ φίλῃσι A[t]W (= ε 482) || **175** (ἐκέλευεν A(T 𝔓1013) (== 252) || **177** οιος 𝔓998 ed. pr. (≈ 662, ~~ Ξ 295) || **183** ὅς [σ'] DhO (≈ Δ 157 υ 204) || **190** ἐπ' : ἀπ' MN (== 578) || **191** κατεβήσατο DMNOV 𝔓998 (~~ 322) ||



Ω 192 κέδρινον ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχάνδει.
Ω 193 ἐς δ' ἄλοχον Ἑκάβην ἐκαλέσσατο φώνησέν τε·
Ω 194 «δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθε
Ω 195 λύσασθαι φίλον υἱόν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
Ω 196 δῶρα δ' Ἀχιλλῆϊ φερέμεν τά κε θυμὸν ἰήνῃ.
Ω 197 ἀλλ' ἄγε μοι τόδε εἰπέ· τί τοι φρεσὶν εἴδεται εἶναι;
Ω 198 αἰνῶς γάρ μ' αὐτόν γε μένος καὶ θυμὸς ἀνώγει
Ω 199 κεῖσ' ἰέναι ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν.»
Ω 200 ὣς φάτο· κώκυσεν δὲ γυνὴ καὶ ἀμείβετο μύθῳ·
Ω 201 «ὤ μοι, πῇ δή τοι φρένες οἴχονθ', ᾗς τὸ πάρος περ
Ω 202 ἔκλε' ἐπ' ἀνθρώπους ξείνους ἠδ' οἷσιν ἀνάσσεις;
Ω 203 πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
Ω 204 ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
Ω 205 > υἱέας ἐξενάριξε· σιδήρειόν νύ τοι ἦτορ.
Ω 206 εἰ γάρ σ' αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν
Ω 207 ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅ γε, οὔ σ' ἐλεήσει
Ω 208 > οὐδέ τί σ' αἰδέσεται. νῦν δὲ κλαίωμεν ἄνευθεν
Ω 209 ἥμενοι ἐν μεγάρῳ· τῷ δ' ὥς ποθι Μοῖρα κραταιὴ
Ω 210 ※ γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτή,
Ω 211 ἀργίποδας κύνας ἆσαι ἑῶν ἀπάνευθε τοκήων
Ω 212 ἀνδρὶ παρὰ κρατερῷ, τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι
Ω 213 ἐσθέμεναι προσφῦσα· τότ' ἄντιτα ἔργα γένοιτο
Ω 214 παιδὸς ἐμοῦ, ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα,
Ω 215 > ἀλλὰ πρὸ Τρώων καὶ Τρωιάδων βαθυκόλπων
Ω 216 ἑσταότ', οὔτε φόβου μεμνημένον οὔτ' ἀλεωρῆς.»
Ω 217 τὴν δ' αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής·
Ω 218 «μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτὴ
Ω 219 ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ· οὐδέ με πείσεις.
Ω 220 εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν,
Ω 221 > ἢ οἳ μάντιές εἰσι, θυοσκόοι ἢ ἱερῆες,
Ω 222 ※ ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·

---

**192** κεχάνδη EFV 𝔓1013[i] Ar[s], ↖ Ar[t] (≈ 418), ιкεχ˳όνδει 𝔓998, Fick (Chantraine 427, ≈ Γ 99), κεκεύθει Mass.[s] (~ ι 348) || **198** ἄνωγε(ν) O (Ar[t]) (= ε 89, == Ε 899 θ 449) || **200** ἀμείβετο : ἀνήρετο Ar[t] (~ Φ 508) || **201** περ : γε A[i] (== Ξ 125 ε 82) || **205a** ἀθάνατοι ποίησαν ὀλύμπια δώματ' ἔχοντες (2= Α 18) A[s] "ὡς ἐλλείποντος τοῦ λόγου" || **207** ὅ γε : ὅδε AEF(h) (~~ 300) || **210** γ[ε]ινομένωι T 𝔓998 (~~ Κ 71 δ 458) || **213** ἂν τιτὰ h, Callistr.[s], Apollod.[s] (≈ 318, ↖ ρ 51) || **214** ἑ ΩΖ 𝔓998, A[s+] : τι A[s] 𝔓1013 (= 68) || **215** πρὸ‹ς› DT[λ] 𝔓998 𝔓1013, ↖ A[t+], E[s] coll. Δ 156 (= Χ 514, == Ο 670, ↖ Θ 57) || **219** κακὴ FMN (≈ 280) || **221** ἢ οἳ : οἷοι OV, Eu διχῶς ||

Ω 223 νῦν δ', αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην,
Ω 224 εἶμι καὶ οὐχ ἅλιον ἔπος ἔσσεται. εἰ δέ μοι αἶσα
Ω 225 τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων,
Ω 226 βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺς
Ω 227 ἀγκὰς ἑλόντ' ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἵην.»
Ω 228 > ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέῳγεν·
Ω 229 > ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,
Ω 230 δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
Ω 231 τόσσα δὲ φάρεα λευκά, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας.
Ω 232 > χρυσοῦ δὲ στήσας ἔφερεν δέκα πάντα τάλαντα,
Ω 233 ἐκ δὲ δύ' αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας,
Ω 234 ἐκ δὲ δέπας περικαλλές, ὅ οἱ Θρῆκες πόρον ἄνδρες
Ω 235 ἐξεσίην ἐλθόντι, μέγα κτέρας· οὐδέ νυ τοῦ περ
Ω 236 φείσατ' ἐνὶ μεγάροις ὁ γέρων, περὶ δ' ἤθελε θυμῷ
Ω 237 λύσασθαι φίλον υἱόν. ὃ δὲ Τρῶας μὲν ἅπαντας
Ω 238 αἰθούσης ἀπέεργεν ἔπεσσ' αἰσχροῖσιν ἐνίσσων·
Ω 239 «ἔρρετε, λωβητῆρες, ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν
Ω 240 οἴκοι ἔνεστι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;
Ω 241 > ἦ οὔνεσθ', ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκε,
Ω 242 παῖδ' ὀλέσαι τὸν ἄριστον; ἀτὰρ γνώσεσθε καὶ ὔμμες·
Ω 243 ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε
Ω 244 κείνου τεθνηῶτος ἐναιρέμεν. αὐτὰρ ἔγωγε,
Ω 245 πρὶν ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε
Ω 246 ὀφθαλμοῖσιν ἰδεῖν, βαίην δόμον Ἄιδος εἴσω.»
Ω 247 ἦ, καὶ σκηπανίῳ δίεπ' ἀνέρας· οἱ δ' ἴσαν ἔξω
Ω 248 σπερχομένοιο γέροντος. ὃ δ' υἱάσιν οἷσιν ὁμόκλα,
Ω 249 νεικείων Ἕλενόν τε Πάριν τ' Ἀγάθωνά τε δῖον
Ω 250 Πάμμονά τ' Ἀντίφονόν τε βοὴν ἀγαθόν τε Πολίτην
Ω 251 > Δηΐφοβόν τε καὶ Ἱππόθοον καὶ Δῖον ἀγαυόν·
Ω 252 ἐννέα τοῖς ὁ γεραιὸς ὁμοκλήσας ἐκέλευε·
Ω 253 > «σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες· αἴθ' ἅμα πάντες
Ω 254 Ἕκτορος ὠφέλετ' ἀντὶ θοῆς ἐπὶ νηυσὶ πεφάσθαι.
Ω 255 ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους

231 λευκὰ ATEhV 𝔓1013 : καλὰ dFMNO 𝔓998 (= ω 277) || 235 ἐξεσίην⟨δ'⟩ (L) Eu (≈ A 169 α 88, cf Λ 140 ἀγγελίην ἐλθόντα) || 238 ἀνέεργεν L Eu (≈ 369, ~ P 752) || 240 οἶκοι ἐστὶ hVN$^{t}$ 𝔓1013, Plut. 2, 462c (≈ Θ 337) || 241 ὤνησθ' Fick, ὀνόσασθ' TZ Ar$^{t}$, ὀνοσεσθ' 𝔓1013$^{i}$ (↖ Valk 1, 565, cf Dict., ρ 378 ἦ ὄνοσαι) || ἔδωκε : ἔθηκε A$^{i}$T (= A 2, == B 375, ~~ ο 357) || 250 Ἀντιφόν! τε dM$^{t}$N$^{t}$ (~ Λ 101) || 251 δῖον Ἀγαυὸν A$^{s}$ διχῶς (≈ B 592) || 252 ἐκέλευ⟨σ⟩ε(ν) TFMNV 𝔓1 (O 𝔓1013) (== B 28 η 304) || 253 κατηφέες d Crates$^{s}$, ↖ Ar$^{s}$ (= ω 432) ||



Ω 256 Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔ τινα φημὶ λελεῖφθαι,
Ω 257 > Μήστορά τ' ἀντίθεον καὶ Τρωΐλον ἱππιοχάρμην
Ω 258 Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν, οὐδὲ ἐῴκει
Ω 259 ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι ἀλλὰ θεοῖο.
Ω 260 τοὺς μὲν ἀπώλεσ' Ἄρης, τὰ δ' ἐλέγχεα πάντα λέλειπται,
Ω 261 ψεῦσταί τ' ὀρχησταί τε χοροιτυπίῃσιν ἄριστοι,
Ω 262 ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
Ω 263 οὐκ ἂν δή μοι ἄμαξαν ἐφοπλίσσαιτε τάχιστα,
Ω 264 ταῦτά τε πάντ' ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;»
Ω 265 ὣς ἔφαθ'· οἳ δ' ἄρα πατρὸς ὑποδδείσαντες ὁμοκλὴν
Ω 266 ἐκ μὲν ἄμαξαν ἄειραν ἐΰτροχον ἡμιονείην,
Ω 267 καλὴν πρωτοπαγέα, πείρινθα δὲ δῆσαν ἐπ' αὐτῆς,
Ω 268 κὰδ δ' ἀπὸ πασσαλόφιν ζυγὸν ᾕρεον ἡμιόνειον,
Ω 269 πύξινον, ὀμφαλόεν, εὖ οἰήκεσσιν ἀρηρός·
Ω 270 ἐκ δ' ἔφερον ζυγόδεσμον ἅμα ζυγῷ ἐννεάπηχυ.
Ω 271 καὶ τὸ μὲν εὖ κατέθηκαν ἐϋξέστῳ ἐπὶ ῥυμῷ,
Ω 272 > πέζῃ ἐπὶ πρώτῃ, ἐπὶ δὲ κρίκον ἕστορι βάλλον·
Ω 273 τρὶς δ' ἑκάτερθεν ἔδησαν ἐπ' ὀμφαλόν, αὐτὰρ ἔπειτα
Ω 274 ἑξείης κατέδησαν, ὑπὸ γλωχῖνα δ' ἔκαμψαν.
Ω 275 ἐκ θαλάμου δὲ φέροντες ἐϋξέστης ἐπ' ἀπήνης
Ω 276 νήεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
Ω 277 ζεῦξαν δ' ἡμιόνους κρατερώνυχας ἐντεσιεργούς,
Ω 278 τούς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν ἀγλαὰ δῶρα·
Ω 279 ἵππους δὲ Πριάμῳ ὕπαγον ζυγόν, οὓς ὁ γεραιὸς
Ω 280 αὐτὸς ἔχων ἀτίταλλεν ἐϋξέστῃ ἐπὶ φάτνῃ.
Ω 281 τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσι
Ω 282 > κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες·
Ω 283 ἀγχίμολον δέ σφ' ἦλθ' Ἑκάβη τετιηότι θυμῷ
Ω 284 οἶνον ἔχους' ἐν χειρὶ μελίφρονα δεξιτερῆφι
Ω 285 χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην.
Ω 286 στῆ δ' ἵππων προπάροιθεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
Ω 287 «τῆ, σπεῖσον Διὶ πατρί, καὶ εὔχεο οἴκαδ' ἱκέσθαι

259 παῖς T 𝔓998 (== 385) || 263 ἄμαξαν A : ἅμαξαν (== 711) || ἐφοπλίσσητε hV (𝔓1013 -ειτε), Eu διχῶς (≈ 264) || 264 ἐπιθῆτε dh Eu διχῶς (≈ 436) || 267 πρωτοπαγέα AdTFhV 𝔓998 𝔓1013 : πρωτοπαγῆ EMNO 𝔓1013$^{c}$ (≈ 483) || 269 Ze$^{s}$ "οὐκ ἦν" (cf n. 7) || ὀμφαλόεν MN ⟨τ'⟩ dhOV (≈ 471) || 274 ἔγναμψαν! A$^{i}$E(hO)MNVZ 𝔓1013 (~~ Ψ 731) || 275 ἐϋξέστου MN ⟨τ'⟩ dhOV (≈ 471) || 274 ἔγναμψαν! A$^{i}$E(hO)MNVZ 𝔓1013 (~~ Ψ 731) || 275 ἐϋξέστου MN (= Ψ 291) || ζυγῶ(ι) (~~ 280) || 277 ἐντεσιουργοὺς FhM, ↖ et Z || 279 πριάμω(ι) : τρωιοὺς E (= Ψ 291) || ζυγῶ(ι) (~~ 280) || 283 ἀγχίμολος T (≈ 330) || dV (≈ 392) || 280 ἐϋξέστω(ι) dhV(FO) 𝔓1013 (≈ B 697) || 285 χρυσείω(ι) δέπαϊ M$^{t}$N$^{t}$ (= γ 41) ||

ἆψ ἐκ δυϲμενέων ἀνδρῶν, ἐπεὶ ἄρ ϲέ γε θυμὸϲ
ὀτρύνει ἐπὶ νῆαϲ, ἐμεῖο μὲν οὐκ ἐθελούϲηϲ.
ἀλλ' εὔχεο ϲύ γ' ἔπειτα κελαινεφέϊ Κρονίωνι
Ἰδαίῳ, ὅϲ τε Τροίην κατὰ πᾶϲαν ὁρᾶται,
αἴτει δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅϲ τέ οἱ αὐτῷ
⪧ φίλτατοϲ οἰωνῶν, καί εὑ κράτοϲ ἐϲτὶ μέγιϲτον,
δεξιόν, ὄφρα μιν αὐτὸϲ ἐν ὀφθαλμοῖϲι νοήϲαϲ
τῷ πίϲυνοϲ ἐπὶ νῆαϲ ἴῃϲ Δαναῶν ταχυπώλων.
εἰ δέ τοι οὐ δώϲει ἑὸν ἄγγελον εὐρύοπα Ζεύϲ,
οὐκ ἂν ἔγωγέ ϲ' ἔπειτα ἐποτρύνουϲα κελοίμην
νῆαϲ ἐπ' Ἀργείων ἰέναι, μάλα περ μεμαῶτα.»
  τὴν δ' ἀπαμειβόμενοϲ προϲέφη Πρίαμοϲ θεοειδήϲ·
«ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένῃ ἀπιθήϲω·
ἐϲθλὸν γὰρ Διὶ χεῖραϲ ἀναϲχέμεν, αἴ κ' ἐλεήϲῃ.»
ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιὸϲ
χερϲὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἣ δὲ παρέϲτη
>– χέρνιβον ἀμφίπολοϲ πρόχοόν θ' ἅμα χερϲὶν ἔχουϲα.
> νιψάμενοϲ δὲ κύπελλον ἐδέξατο ἧϲ ἀλόχοιο·
> εὔχετ' ἔπειτα ϲτὰϲ μέϲῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον
οὐρανὸν εἰϲανιδών, καὶ φωνήϲαϲ ἔποϲ ηὔδα·
«Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιϲτε μέγιϲτε,
δόϲ μ' ἐϲ Ἀχιλλῆοϲ φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν,
πέμψον δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅϲ τε ϲοὶ αὐτῷ
φίλτατοϲ οἰωνῶν, καί εὑ κράτοϲ ἐϲτὶ μέγιϲτον,
δεξιόν, ὄφρα μιν αὐτὸϲ ἐν ὀφθαλμοῖϲι νοήϲαϲ
τῷ πίϲυνοϲ ἐπὶ νῆαϲ ἴω Δαναῶν ταχυπώλων.»
  ὣϲ ἔφατ' εὐχόμενοϲ, τοῦ δ' ἔκλυε μητίετα Ζεύϲ·
> αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
μόρφνον θηρητῆρ', ὃν καὶ περκνὸν καλέουϲιν.
ὅϲϲη δ' ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
> ἀνέροϲ ἀφνειοῖο, ἐῢ κληῖϲ' ἀραρυῖα,

**292** ταχὺν : ἑὸν A[t] 𝔓1013 (= 296, == 310) ‖ **293** (sim. 311) εὑ A(Z), εὐ E(h)OV, εὖ dT, So 78, 22 "εὖ ϲημαίνει ἑαυτοῦ ... καὶ καλῶϲ" : οἱ F[c]MN (== I 377), οὗ Ze[s] (= ε 4, cf α 70 ὅου, ~= Y 261) ‖ μέγιϲτον et A[t]Z : μάλιϲτα AE (==-311) ‖ **295**[2] χαίρων ἐνὶ θυμῶι A[t] (= α 311) ‖ **300** τόδ' : τό γ' A[i]Th (~~ 398), τάδ' E (~= δ 292) ‖ **304** χέρνιβα Mass.[T] (restituit Erbse, = α 136) ‖ ... πρόχοόν θ' ἅμα Ω 𝔓9 : ταμίη μετὰ Mass.[T] (~ α 139) ‖ φέρουϲα D (= α 136, ~~ M 382, cf O 88 θέουϲα/φέρουϲα) ‖ **310** ἑὸν A[t] (item 292) ‖ **311** (= 293) μάλιϲτα A, ⸌ A[t] (~= P 21, cf n. 13d) ‖ **312** (= 294) om. F ‖ **318** (om. G) ἐῢ κληῖϲ' A[s] (~ c 294) : ἐϋκλήϊϲ AENO(TF[1]V 𝔓1013) Ar[s], ἐϋκληῖϲ dF[c]hM 𝔓9, So 100, 11? (≈ A 8 δ 686) ‖



τόϲϲ' ἄρα τοῦ ἑκάτερθεν ἔϲαν πτερά· εἴϲατο δέ ϲφιν
δεξιὸϲ ἀΐξαϲ ὑπὲρ ἄϲτεοϲ. οἱ δὲ ἰδόντεϲ
γήθηϲαν, καὶ πᾶϲιν ἐνὶ φρεϲὶ θυμὸϲ ἰάνθη.
  ϲπερχόμενοϲ δ' ὁ γέρων ξεϲτοῦ ἐπεβήϲετο δίφρου,
ἐκ δ' ἔλαϲε προθύροιο καὶ αἰθούϲηϲ ἐριδούπου.
πρόϲθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην,
τὰϲ Ἰδαῖοϲ ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπιϲθεν
ἵπποι, τοὺϲ ὁ γέρων ἐφέπων μάϲτιγι κέλευε
καρπαλίμωϲ κατὰ ἄϲτυ. φίλοι δ' ἅμα πάντεϲ ἕποντο
πόλλ' ὀλοφυρόμενοι, ὡϲ εἰ θάνατόνδε κιόντα.
οἳ δ' ἐπεὶ οὖν πόλιοϲ κατέβαν, πεδίον δ' ἀφίκοντο,
οἳ μὲν ἄρ ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο,
> παῖδεϲ καὶ γαμβροί· τὼ δ' οὐ λάθον εὐρύοπα Ζῆν
ἐϲ πεδίον προφανέντε, ἰδὼν δ' ἐλέηϲε γέροντα.
αἶψα δ' ἄρ Ἑρμείαν υἱὸν φίλον ἀντίον ηὔδα·
«Ἑρμεία, ϲοὶ γάρ τε μάλιϲτά γε φίλτατόν ἐϲτιν
ἀνδρὶ ἑταιρίϲϲαι, καί τ' ἔκλυεϲ, ᾧ κ' ἐθέληϲθα·
βάϲκ' ἴθι, καὶ Πρίαμον κοίλαϲ ἐπὶ νῆαϲ Ἀχαιῶν
> ὣϲ ἄγαγ', ὡϲ μήτ' ἄρ τιϲ ἴδῃ μήτ' ἄρ τε νοήϲῃ
> τῶν ἄλλων Δαναῶν, πρὶν Πηλεϊωνάδ' ἱκέϲθαι.»
>   ὣϲ ἔφατ', οὐδ' ἀπίθηϲε διάκτοροϲ Ἀργειφόντηϲ.
αὐτίκ' ἔπειθ' ὑπὸ ποϲϲὶν ἐδήϲατο καλὰ πέδιλα,
※ ἀμβρόϲια χρύϲεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν
※ ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇϲ ἀνέμοιο·
εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει
ὧν ἐθέλει, τοὺϲ δ' αὖτε καὶ ὑπνώονταϲ ἐγείρει·
τὴν μετὰ χερϲὶν ἔχων πέτετο κρατὺϲ Ἀργειφόντηϲ.
αἶψα δ' ἄρα Τροίην τε καὶ Ἑλλήϲποντον ἵκανε·
βῆ δ' ἰέναι κούρῳ αἰϲυμνητῆρι ἐοικώϲ,
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεϲτάτη ἥβη.

**319** τόϲϲ' et M[t]N[t] : ὡϲ OMN (= ζ 235, ~= 595) ‖ ϲφι FhV : ϲφιν (== Δ 166 β 284, ≈ 600) ‖ **320** ὑπὲρ : δι(ὰ) A[t]TN(M 𝔓1013) (= β 154 κ 118) ‖ **322** γεραιὸϲ ἑοῦ A, ⸌ et 𝔓9 A[t] (~ N 26, cf n. 13d) ‖ ἐπεβήϲατο NO 𝔓1013, ⸌ A[t] (~~ A 428 α 330) ‖ **329** πόλεοϲ A (~~ Δ 308) ‖ πεδίον τ' Nauck ‖ **330** αφορρον 𝔓1 (≈ 557) ‖ **332** προβάντε O (⸌ P 487), καταβάντε Chia[t] (cf 329) ‖ **338** Πηλείων' ἀφικέϲθαι Povelsen (cf X 214 Πηλείωνα δ' ἵκανε) ‖ **344** (om. 𝔓1013) ἐθέληι AA[t] 𝔓9, ⸌ Ar[t]+ (= υ 342, ~~ P 489 ε 48, ≈ 528) ‖ **346** ἄρα ATMN 𝔓9 𝔓1015a : ἄρ ἐϲ et A[t] (= 797, ~~ T 205) ‖ **347** αἰϲυ[μν]ητῆρι AT[s]FM[t]N[t](O) 𝔓9 𝔓1015a So, ⸌ et Z Ar[t] (cf B 793 Αἰϲυήταο, θ 258 αἰϲυμνῆται, ≈ A 113 -μν-) ‖

οἳ δ' ἐπεὶ οὖν μέγα cῆμα παρὲξ Ἴλοιο ἔλαccαν,
cτῆcαν ἄρ ἡμιόνους τε καὶ ἵππους, ὄφρα πίοιεν,
ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν.
τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράccατο κῆρυξ
Ἑρμείαν, ποτὶ δὲ Πρίαμον φάτο φώνηcέν τε·
«φράζεο, Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται.
ἄνδρ' ὁρόω, τάχα δ' ἄμμε διαρραίcεcθαι ὀίω.
ἀλλ' ἄγε δὴ φεύγωμεν ἐφ' ἵππων· ἤ μιν ἔπειτα
γούνων ἁψάμενοι λιτανεύcομεν, αἴ κ' ἐλεήcῃ.»
ὣc φάτο· cὺν δὲ γέροντι νόος χύτο, δείδιε δ' αἰνῶc,
ὀρθαὶ δὲ τρίχες ἔcταν ἐνὶ γναμπτοῖcι μέλεccι·
cτῆ δὲ ταφών. αὐτὸc δ' ἐριούνιοc ἐγγύθεν ἐλθών,
χεῖρα γέροντος ἑλὼν ἐξείρετο καὶ προcέειπε·
«πῇ, πάτερ, ὧδ' ἵππους τε καὶ ἡμιόνους ἰθύνειc
νύκτα δι' ἀμβροcίην, ὅτε θ' εὕδουcι βροτοὶ ἄλλοι;
οὐδὲ cύ γ' ἔδδειcαc μένεα πνείονταc Ἀχαιούc,
οἵ τοι δυcμενέεc καὶ ἀνάρcιοι ἐγγὺc ἔαcι;
τῶν εἴ τίc cε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν
> τοccάδ' ὀνείατ' ἄγοντα, τίc ἂν δή τοι νόοc εἴη;
οὔτ' αὐτὸc νέοc ἐccί, γέρων δέ τοι οὗτοc ὀπηδεῖ,
ἄνδρ' ἀπαμύναcθαι, ὅτε τιc πρότεροc χαλεπήνῃ.
> ἀλλ' ἐγὼ οὐδέν cε ῥέξω κακά, καὶ δέ κεν ἄλλον
cεῦ ἀπαλεξήcαιμι· φίλῳ δέ cε πατρὶ ἐΐcκω.»
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοc θεοειδήc·
«οὕτω πῃ τάδε γ' ἐcτί, φίλον τέκοc, ὡc ἀγορεύειc.
ἀλλ' ἔτι τιc καὶ ἐμεῖο θεῶν ὑπερέcχεθε χεῖρα,
ὅc μοι τοιόνδ' ἧκεν ὁδοιπόρον ἀντιβολῆcαι,
αἴcιον, οἷοc δὴ cὺ δέμαc καὶ εἶδοc ἀγητόc,
πέπνυcαί τε νόῳ, μακάρων δ' ἔξεccι τοκήων.»
τὸν δ' αὖτε προcέειπε διάκτοροc Ἀργειφόντηc·
«ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπεc.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέωc κατάλεξον,

359 ἐνὶ (= Λ 669) : ἐπὶ AT (~~ 421) ‖ 361 ἐξήρετο EF (~~ A 513) ‖ 367 ἔχοντα G, Eu διχῶc (~~ Φ 155) ‖ 369 ἐπαμύναcθαι AT^λF 𝔓552 𝔓552a 𝔓1013^c (~~ O 738, ≈ 428, ↖ π 72 ‖ χαλεπαίνη(ι) h 𝔓1013 (≈ A 365 β 376) ‖ 370 οὐδέν et Z : οὐδ' ἂν EM(N) ‖ κακὸν! καὶ δὲ A^tDEFOV (~ B 195, ≈ 446, ~~ β 45), κακὸν ἠδέ h (εἰ δὲ A^t) ‖ 373 πηι et A^t+ : δὴ A^t 𝔓9 (= λ 348) ‖ 374 ἔτι A^tA^mDThMNOV 𝔓9 𝔓1015a (= P 338) : εἰ AEF (= 74) ‖ 376 δέμαc : μέγαc O 𝔓1013 ‖ καὶ ἀτειρέα φωνὴν E (= X 227) ‖ 379 ἔειπαc E 𝔓1013 (== A 106app.) ‖



ἠέ πῃ ἐκπέμπειc κειμήλια πολλὰ καὶ ἐcθλὰ
ἄνδραc ἐc ἀλλοδαπούc, ἵνα περ τάδε τοι cόα μίμνῃ,
> ἦ ἤδη πάντεc καταλείπετε Ἴλιον ἱρὴν
δειδιότεc· τοῖοc γὰρ ἀνὴρ ὤριcτοc ὄλωλε,
cὸc πάιc· οὐ μὲν γάρ τι μάχηc ἐπιδεύετ' Ἀχαιῶν.»
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοc θεοειδήc·
«τίc δὲ cύ ἐccι, φέριcτε, τέων δ' ἔξεccι τοκήων;
ὥc μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸc ἔνιcπεc.»
τὸν δ' αὖτε προcέειπε διάκτοροc Ἀργειφόντηc·
«πειρᾷ ἐμεῖο, γεραιέ, καὶ εἴρεαι Ἕκτορα δῖον.
τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἐνὶ κυδιανείρῃ
ὀφθαλμοῖcιν ὄπωπα, καὶ εὖτ' ἐπὶ νηυcὶν ἐλάccαc
Ἀργείουc κτείνεcκε, δαΐζων ὀξέι χαλκῷ·
> ἡμεῖc δ' ἑcταότεc θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεὺc
> εἴα μάρναcθαι, κεχολωμένοc Ἀτρεΐωνι.
τοῦ γὰρ ἐγὼ θεράπων, μία δ' ἤγαγε νηῦc εὐεργήc·
Μυρμιδόνων δ' ἔξειμι, πατὴρ δέ μοί ἐcτι Πολύκτωρ.
ἀφνειὸc μὲν ὅ γ' ἐcτί, γέρων δὲ δὴ ὡc cύ περ ὧδε,
ἓξ δέ οἱ υἷεc ἔαcιν, ἐγὼ δέ οἱ ἕβδομόc εἰμι·
τῶν μέτα παλλόμενοc κλήρῳ λάχον ἐνθάδ' ἕπεcθαι.
νῦν δ' ἦλθον πεδίονδ' ἀπὸ νηῶν· ἠῶθεν γὰρ
θήcονται περὶ ἄcτυ μάχην ἑλίκωπεc Ἀχαιοί.
ἀcχαλόωcι γὰρ οἵδε καθήμενοι, οὐδὲ δύνανται
ἴcχειν ἐccυμένουc πολέμου βαcιλῆεc Ἀχαιῶν.»
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμοc θεοειδήc·
«εἰ μὲν δὴ θεράπων Πηληιάδεω Ἀχιλῆοc
εἶc, ἄγε δή μοι πᾶcαν ἀληθείην κατάλεξον,
ἢ ἔτι πὰρ νήεccιν ἐμὸc πάιc ἠέ μιν ἤδη
ἧcι κυcὶν μελεϊcτὶ ταμὼν προύθηκεν Ἀχιλλεύc.»
τὸν δ' αὖτε προcέειπε διάκτοροc Ἀργειφόντηc·
«ὦ γέρον, οὔ πω τόν γε κύνεc φάγον οὐδ' οἰωνοί,

382 τοι τάδε περ MN 𝔓9 (≈ 553, ↖ ν 364) ‖ 385 παῖc ATOV (== 408) ‖ ἐπεδεύετ' TMNO 𝔓9 Eu (≈ H 428 μ 393) ‖ 388 ὥc : ὅc FhOV 𝔓9 (== H 171 β 53) ‖ 391 πολλὰ Ω 𝔓1016 𝔓1017 : παγχυ 𝔓1013 (= Ξ 143) ‖ 392 νῆαc MN (≈ 459) ‖ 396 γὰρ Ω 𝔓1016 : μεν 𝔓1013 (== Δ 301 α 208) ‖ 397 δέ μοι : δ' ἐμόc D 𝔓1013 (~~ τ 116) ‖ 398 ὅ γ' : ὅδ' ADMN 𝔓9 𝔓1013 𝔓1016 (~~ 403) ‖ 399 οἱ¹ Ω : τῶι A^t (== Π 801) ‖ οἱ² : τοι DhMNO Eu (== I 291 τ 226) ‖ 400¹ τοῖcι δὲ πρῶτον ὑπηνήτηc T^s (~ 348) ‖ ἱκέcθαι EV (= α 173) ‖ 403 οἵ γε A^iNO 𝔓1013 Eu (~~ A 281 α 370) ‖ 408 ἦ : εἰ aM^tN^t (= Z 367!) ‖ παῖc T (== 426) ‖ 411 πω : τοι DN^t (= ο 531, == Π 707 φ 172) ‖

ἀλλ᾽ ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηὶ
Ω 412 αὔτως ἐν κλισίῃσι· δυωδεκάτη δέ οἱ ἠὼς
Ω 413 κειμένῳ, οὐδέ τί οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαὶ
Ω 414 ἔσθους᾽, αἵ ῥά τε φῶτας ἀρηιφάτους κατέδουσιν.
Ω 415 ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
Ω 416 ἕλκει ἀκηδέστως, ἠὼς ὅτε δῖα φανήῃ,
Ω 417 οὐδέ μιν αἰσχύνει· θηοῖό κεν αὐτὸς ἐπελθὼν
Ω 418 οἷον ἐερσήεις κεῖται, περὶ δ᾽ αἷμα νένιπται,
Ω 419 οὐδέ ποθι μιαρός· σὺν δ᾽ ἕλκεα πάντα μέμυκεν,
Ω 420 ὅσσ᾽ ἐτύπη· πολέες γὰρ ἐν αὐτῷ χαλκὸν ἔλασσαν.
Ω 421 ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος
Ω 422 καὶ νέκυός περ ἐόντος, ἐπεί σφι φίλος περὶ κῆρι.»
Ω 423 ὣς φάτο· γήθησεν δ᾽ ὁ γέρων καὶ ἀμείβετο μύθῳ·
Ω 424 «ὦ τέκος, ἦ ῥ᾽ ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
Ω 425 ἀθανάτοις, ἐπεὶ οὔ ποτ᾽ ἐμὸς πάις, εἴ ποτ᾽ ἔην γε,
Ω 426 λήθετ᾽ ἐνὶ μεγάροισι θεῶν οἳ Ὄλυμπον ἔχουσι·
Ω 427 τῶ οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
Ω 428 ἀλλ᾽ ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον,
Ω 429 αὐτόν τε ῥῦσαι, πέμψον δέ με σύν γε θεοῖσιν,
Ω 430 ὄφρα κεν ἐς κλισίην Πηληιάδεω ἀφίκωμαι.»
Ω 431 τὸν δ᾽ αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Ω 432 «πειρᾷ ἐμεῖο, γεραιέ, νεωτέρου, οὐδέ με πείσεις,
Ω 433 ὅς με κέλῃ σέο δῶρα παρὲξ Ἀχιλῆα δέχεσθαι.
Ω 434 τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι
Ω 435 συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
Ω 436 σοὶ δ᾽ ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην,
Ω 437 ἐνδυκέως ἐν νηὶ θοῇ ἢ πεζὸς ὁμαρτέων·
Ω 438 οὐκ ἄν τίς τοι πομπὸν ὀνοσσάμενος μαχέσαιτο.»
Ω 439 ἦ, καὶ ἀναΐξας ἐριούνιος ἅρμα καὶ ἵππους
Ω 440 καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν,
Ω 441

**413** ἠὼς et MᵗNᵗ : ἤδε DMN 𝔓998 (= Φ 81), ἤδη MᵗNᵗOᶜ 𝔓1013 (= τ 192) ‖ **417** φανείη aEFhNO 𝔓998, Eu διχῶς, ↖ et 𝔓9 𝔓1013 (== T 375 ε 394) ‖ **418** θηοῖο Tᵗ 𝔓9, Ar/Athousᵗ : θειοῖό EFhV(Z) (≈ 473), θείοιό aDTTˢM(N)O, Aˢ ad Ω 20 ‖ **419** ἐρσήεις aEhNZ(ἑ- M Eu) (~ 757, ~~ Λ 53, ≈ O 225 (ἐλνέρτεροι) ‖ **421** ἐν aTFMNO (= Y 259) : ἐπ᾽ DEhV 𝔓9 𝔓998 𝔓1013 Eu (= 666, == B 351, ~~ α 211) ‖ **426** παῖς 𝔓998 (== B 713 δ 164) ‖ **428** τῶ⟨ν⟩ TˢEh 𝔓9 (~= 546) ‖ ἀπεμνήσαντο DEFHOV (𝔓1013) (= Theog. 503, ~ O 662) : ἐπεμνήσαντο aTMNZ 𝔓9 𝔓998 (≈ 440) ‖ **429** δέξο V (= T 10) ‖ **430** om. T ‖ **436** γένοιτο D 𝔓1013 Eu (== 655, ≈ 566) ‖ **437** σοὶ μεν 𝔓1013 (= Z 224) ‖ **439** οὐ κέν DVZ 𝔓9 𝔓1013 (== M 465 ρ 268, ≈ Z 113) ‖ **440** (om. 𝔓998) ἐπαΐξας DhMNOV 𝔓1013 (= Γ 369, ≈ 642) ‖



ἐν δ᾽ ἔπνευσ᾽ ἵπποισι καὶ ἡμιόνοις μένος ἠύ.
Ω 442 ἀλλ᾽ ὅτε δὴ πύργους τε νεῶν καὶ τάφρον ἵκοντο,
Ω 443 οἳ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο,
Ω 444 τοῖσι δ᾽ ἐφ᾽ ὕπνον ἔχευε διάκτορος Ἀργειφόντης
Ω 445 πᾶσιν, ἄφαρ δ᾽ ὤιξε πύλας καὶ ἀπῶσεν ὀχῆας,
Ω 446 ἐς δ᾽ ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ᾽ ἐπ᾽ ἀπήνης.
Ω 447 ἀλλ᾽ ὅτε δὴ κλισίην Πηληιάδεω ἀφίκοντο
Ω 448 ὑψηλήν, τὴν Μυρμιδόνες ποίησαν ἄνακτι
Ω 449 δοῦρ᾽ ἐλάτης κέρσαντες· ἀτὰρ καθύπερθεν ἔρεψαν
Ω 450 λαχνήεντ᾽ ὄροφον λειμωνόθεν ἀμήσαντες·
Ω 451 ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι
Ω 452 σταυροῖσιν πυκινοῖσι· θύρην δ᾽ ἔχε μοῦνος ἐπιβλὴς
Ω 453 εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιρρήσσεσκον Ἀχαιοί,
Ω 454 τρεῖς δ᾽ ἀναοίγεσκον μεγάλην κληῖδα θυράων,
Ω 455 τῶν ἄλλων· Ἀχιλεὺς δ᾽ ἄρ ἐπιρρήσσεσκε καὶ οἶος·
Ω 456 δή ῥα τόθ᾽ Ἑρμείας ἐριούνιος ᾦξε γέροντι,
Ω 457 ἐς δ᾽ ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλείωνι.
Ω 458 ἐξ ἵππων δ᾽ ἀπέβαινεν ἐπὶ χθόνα φώνησέν τε·
Ω 459 «ὦ γέρον, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα,
Ω 460 Ἑρμείας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν.
Ω 461 ἀλλ᾽ ἤτοι μὲν ἐγὼ πάλιν εἴσομαι, οὐδ᾽ Ἀχιλῆος
Ω 462 ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δέ κεν εἴη
Ω 463 ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην.
Ω 464 τύνη δ᾽ εἰσελθὼν λάβε γούνατα Πηλείωνος
Ω 465 καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠυκόμοιο
Ω 466 λίσσεο καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς.»
Ω 467 ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Ω 468 Ἑρμείας· Πρίαμος δ᾽ ἐξ ἵππων ἆλτο χαμᾶζε.
Ω 469 Ἰδαῖον δὲ κατ᾽ αὖθι λίπεν, ὃ δ᾽ ἔμιμνεν ἐρύκων
Ω 470 ἵππους ἡμιόνους τε. γέρων δ᾽ ἰθὺς κίεν οἴκου,
Ω 471 τῇ ῥ᾽ Ἀχιλεὺς ἵζεσκε Διὶ φίλος. ἐν δέ μιν αὐτὸν
Ω 472 εὗρ᾽, ἕταροι δ᾽ ἀπάνευθε καθείατο· τὼ δὲ δύ᾽ οἴω,
Ω 473 ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος ὄζος Ἄρηος,
Ω 474 ποίπνυον παρεόντε. νέον δ᾽ ἀπέληγεν ἐδωδῆς
Ω 475 ἔσθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα.
Ω 476

**446** θύρας E (~~ 567) ‖ ὀχῆα[ς] TM (= N 124, == 566, ≈ 544) ‖ **454** ἐπιρ[ρ]ήσσεσκον Tᵗ (≈ E 203) ‖ ἀχαιῶν DTV (≈ Γ 13 α 7) ‖ **459** χθονὶ aF (≈ 526, ↖ Γ 265) ‖ **471** ἵππους ⟨θ᾽⟩ DTEh 𝔓9 (== 576, ≈ 528) ‖ **473** καθήατο E, Ar/Athousᵗ (≈ A 513 α 289) ‖

τοὺς δ' ἔλαθ' εἰcελθὼν Πρίαμος μέγας, ἄγχι δ' ἄρα cτὰς
χερςὶν Ἀχιλλῆος λάβε γούνατα καὶ κύcε χεῖρας
δεινὰς ἀνδροφόνους, αἵ οἱ πολέας κτάνον υἷας.
ὡς δ' ὅτ' ἂν ἄνδρ' ἄτη πυκινὴ λάβῃ, ὅς τ' ἐνὶ πάτρῃ
φῶτα κατακτείνας ἄλλων ἐξίκετο δῆμον,
ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ' ἔχει εἰcορόωντας,
ὣς Ἀχιλεὺς θάμβησεν ἰδὼν Πρίαμον θεοειδέα·
θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.
τὸν καὶ λιccόμενος Πρίαμος πρὸς μῦθον ἔειπε·
«μνῆcαι πατρὸς cοῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τηλίκου ὥς περ ἐγών, ὀλοῷ ἐπὶ γήραος οὐδῷ.
καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
τείρους', οὐδέ τις ἐςτὶν ἀρὴν καὶ λοιγὸν ἀμῦναι.
ἀλλ' ἤτοι κεῖνός γε cέθεν ζώοντος ἀκούων
χαίρει τ' ἐν θυμῷ, ἐπί τ' ἔλπεται ἤματα πάντα
ὄψεcθαι φίλον υἱὸν ἀπὸ Τροίηθεν ἰόντα·
αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔ τινα φημὶ λελεῖφθαι.
πεντήκοντά μοι ἦcαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν·
ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦcαν,
τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροιcι γυναῖκες.
τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ' ἔλυcεν·
ὃς δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄςτυ καὶ αὐτούς,
τὸν cὺ πρώην κτεῖνας ἀμυνόμενον περὶ πάτρης,
Ἕκτορα. τοῦ νῦν εἵνεχ' ἱκάνω νῆας Ἀχαιῶν,
λυcόμενος παρὰ cεῖο, φέρω δ' ἀπερείcι' ἄποινα.
ἀλλ' αἰδεῖο θεούς, Ἀχιλεῦ, αὐτόν τ' ἐλέηcον
μνηcάμενος cοῦ πατρός· ἐγὼ δ' ἐλεεινότερός περ,
ἔτλην δ' οἷ' οὔ πώ τις ἐπιχθόνιος βροτὸς ἄλλος,
ἀνδρὸς παιδοφόνοιο ποτὶ cτόμα χεῖρ' ὀρέγεcθαι.»
ὣς φάτο· τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρcε γόοιο·
ἁψάμενος δ' ἄρα χειρὸς ἀπώcατο ἦκα γέροντα.

481 ἄλλον O[1] Eu (== ο 228, ≈ B 553) || 482 ἔχεν V 𝔓9 𝔓1013 (= Δ 79, ≈ A 424 α 172) || 483 θεοειδῆ h[i]V (≈ A 515 λ 185) || 486 cοῖο DT[s], So 143, 30, Ammon. 445 (~ 504) : cεῖο et 𝔓1013 Ze[T], Dy pron. 108, 12, D. H. comp. verb. 5 (cf Chantraine 2, 155, == Σ 335, ≈ 550), ἑοῖο M (~~ Θ 420, ~= υ 339) || 488 ἐόντος Z, T[s] "ἀντὶ τοῦ *χωρὶς cοῦ ὄντος*" (=~ M 142) || 489 καὶ λοιγὸν et M[t]N[t] : ἀπὸ οἴκου MN (= β 59) || 492 τροίηθε(ν) μολόντα M(aF[1]NO 𝔓1013) (~ γ 44, ↖ ι 38) || 499 αὐτός V (~~ 601 αὐτ-) || 502 φέρω δ' : φέρων τ' D (≈ E 900) || 503 αἰδοῖο Eh (↖ ι 269) || ⟨φέριστε⟩ θεούς [ἀχιλεῦ] Athous[t] (= ι 269) ||



τὼ δὲ μνηcαμένω, ὃ μὲν Ἕκτορος ἀνδροφόνοιο
κλαῖ' ἀδινά, προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυcθείς,
αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
> Πάτροκλον· τῶν δὲ cτοναχὴ κατὰ δώματ' ὀρώρει.
αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεύς,
– καί οἱ ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠδ' ἀπὸ γυίων,
αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίcτη,
οἰκτείρων πολιόν τε κάρη πολιόν τε γένειον,
καί μιν φωνήcας ἔπεα πτερόεντα προcηύδα·
«ἆ δείλ', ἦ δὴ πολλὰ κάκ' ἄνcχεο cὸν κατὰ θυμόν.
πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐcθλοὺς
υἱέας ἐξενάριξα; cιδήρειόν νύ τοι ἦτορ.
ἀλλ' ἄγε δὴ κατ' ἄρ ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ' ἔμπης
ἐν θυμῷ κατακεῖcθαι ἐάcομεν ἀχνύμενοί περ·
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
ὣς γὰρ ἐπεκλώcαντο θεοὶ δειλοῖcι βροτοῖcι,
ζώειν ἀχνυμένους· αὐτοὶ δέ τ' ἀκηδέες εἰcί.
> δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
> δώρων, οἷα δίδωcι, κακῶν, ἕτερος δὲ ἐάων.
ᾧ μέν κ' ἀμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
ἄλλοτε μέν τε κακῷ ὅ γε κύρεται, ἄλλοτε δ' ἐcθλῷ·
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε,
καί ἑ κακὴ βούβρωcτις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾷ δ' οὔτε θεοῖcι τετιμένος οὔτε βροτοῖcιν.
ὣς μὲν καὶ Πηλῆι θεοὶ δόcαν ἀγλαὰ δῶρα
ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαcτο
ὄλβῳ τε πλούτῳ τε, ἄνασσε δὲ Μυρμιδόνεcci,
καί οἱ θνητῷ ἐόντι θεὰν ποίηcαν ἄκοιτιν.
ἀλλ' ἐπὶ καὶ τῷ θῆκε θεὸς κακόν, ὅττι οἱ οὔ τι
παίδων ἐν μεγάροιcι γονὴ γένετο κρειόντων,
ἀλλ' ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε

512 cτεναχὴ 𝔓998 Ze[s] (~~ B 95) || 515 ἀνέcτη h 𝔓1013 (= 597, ↖ 689) || 518 ἄ[ν]cχεο MN 𝔓998, ↖ Ar[t]+ (== 549), ἀνάcχεο F, ἀνίcχεο O (~ Y 84, ≈ Δ 229 ο 200), ἀνέχεο V (~ Π 501) || 521 ἐξενάριξε W 𝔓1013 (≈ Δ 173 β 41), ἐξεναρίξει M || 521 ἐξενάριξε W 𝔓1013 (≈ Δ 173 β 41), ἐξεναρίξει M || 524 πρῆξις (~ 550) : τ' ἄνυcις A[t]TE (~ B 347) || 526 ἀχνυμένοις ADThV 𝔓1013, Plato Axioch. 367d (≈ 635) || 528 (om. T) διδουcι 𝔓1017b (≈ 759) || δε τ εαων 𝔓1017b, Bentley (≈ 576) || ἐάων A[s]EFhMNV (== θ 335, ≈ A 48 α 10) || 529 κ' ἀμμίξας AT (𝔓1013[i], Plato rep. 2, 379d) : καμμίξας et Z (𝔓1017a) ||

Ω 541 γηράϲκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
Ω 542 ἧμαι ἐνὶ Τροίῃ, ϲέ τε κήδων ἠδὲ ϲὰ τέκνα.
Ω 543 καὶ ϲέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
Ω 544 > ὅϲϲον Λέϲβοϲ ἄνω, Μάκαροϲ ἕδοϲ, ἐντὸϲ ἐέργει
Ω 545 > καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήϲποντοϲ ἀπείρων,
Ω 546 τῶν ϲε, γέρον, πλούτῳ τε καὶ υἱάϲι φαϲὶ κεκάϲθαι.
Ω 547 αὐτὰρ ἐπεί τοι πῆμα τόδ᾽ ἤγαγον Οὐρανίωνεϲ,
Ω 548 αἰεί τοι περὶ ἄϲτυ μάχαι τ᾽ ἀνδροκταϲίαι τε.
Ω 549 ἄνϲχεο, μηδ᾽ ἀλίαϲτον ὀδύρεο ϲὸν κατὰ θυμόν·
Ω 550 ⋇ οὐ γάρ τι πρήξειϲ ἀκαχήμενοϲ υἷοϲ ἑῆοϲ,
Ω 551 > οὐδέ μιν ἀνϲτήϲειϲ, πρὶν καὶ κακὸν ἄλλο πάθηϲθα.»
Ω 552 τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμοϲ θεοειδήϲ·
Ω 553 «μή πω μ᾽ ἐϲ θρόνον ἵζε, διοτρεφέϲ, ὄφρα κεν Ἕκτωρ
Ω 554 κεῖται ἐνὶ κλιϲίῃϲιν ἀκηδήϲ, ἀλλὰ τάχιϲτα
Ω 555 λῦϲον, ἵν᾽ ὀφθαλμοῖϲιν ἴδω. ϲὺ δὲ δέξαι ἄποινα
Ω 556 – πολλά, τά τοι φέρομεν· ϲὺ δὲ τῶνδ᾽ ἀπόναιο, καὶ ἔλθοιϲ
Ω 557 – ϲὴν ἐϲ πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔαϲαϲ
Ω 558 Ͻ αὐτόν τε ζώειν καὶ ὁρᾶν φάοϲ ἠελίοιο.»
Ω 559 τὸν δ᾽ ἄρ ὑπόδρα ἰδὼν προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·
Ω 560 «μηκέτι νῦν μ᾽ ἐρέθιζε, γέρον· νοέω δὲ καὶ αὐτὸϲ
Ω 561 Ἕκτορά τοι λῦϲαι. Διόθεν δέ μοι ἄγγελοϲ ἦλθε
Ω 562 μήτηρ, ἥ μ᾽ ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντοϲ.
Ω 563 καὶ δέ ϲε γινώϲκω, Πρίαμε, φρεϲίν, οὐδέ με λήθειϲ,
Ω 564 ὅττι θεῶν τίϲ ϲ᾽ ἦγε θοὰϲ ἐπὶ νῆαϲ Ἀχαιῶν.
Ω 565 οὐ γάρ κε τλαίη βροτὸϲ ἐλθέμεν, οὐδὲ μάλ᾽ ἡβῶν,
Ω 566 > ἐϲ ϲτρατόν· οὐδὲ γὰρ ἂν φυλακοὺϲ λάθοι οὐδέ κ᾽ ὀχῆαϲ
Ω 567 ῥεῖα μετοχλίϲϲειε θυράων ἡμετεράων.
Ω 568 τῷ νῦν μή μοι μᾶλλον ἐν ἄλγεϲι θυμὸν ὀρίνῃϲ,

---

**544** μακάρων VZ 𝔓1013ⁱ, Strabo 13, 586, ↖ et Strabo 8, 356 (≈ A 159 α 414 numerus) ‖ **546** τῶν et Ar$^t$ : τῶ(ι) AD(T)V 𝔓1013 Eu (== B 602) ‖ **549** ἄϲχεο FMN (== Ψ 587, ≈ B 12) ‖ **550** ἑοῖο Ze$^t$ (== A 393, ≈ A 259) ‖ **553** μή πω μ᾽ AO, Hd$^s$ ad Y 464 : μή με πω et 𝔓1013 Eu (≈ 670) ‖ **554** κῆται D 𝔓1013 (== T 32) ‖ **556** (om. EV iterato ϲὺ δὲ decepti) φέρομαι hM (≈ Θ 376 β 192) ‖ ἔλθηιϲ TMN (~~ I 304 β 54) ‖ **557** πρῶτοϲ Eu διχῶϲ (cf η 301 πρώτην ἱκέτευϲαϲ, ≈ 725) ‖ πρῶτ᾽ ἐλέηϲαϲ Sid.$^s$ ‖ **558** (~ δ 540) om. A$^m$DTV 𝔓1013 Eu ‖ **560** γέρων hV (≈ Θ 471 γ 55) ‖ **565** κε(ν) DEFMNV 𝔓998 𝔓1013, ↖ A$^t$ (== Γ 220 α 254, ≈ B 671) ‖ **566** οὐδὲ¹ : οὔτε A$^t$V 𝔓998 (~~ A 93 β 26), οὔ τι MN ‖ φυλακοὺϲ ATT$^s$ (𝔓998) Ar$^s$ : φυλάκουϲ DT$^s$FOV (≈ B 316 δ 811, φύλακαϲ EhMN 𝔓1013¹ (≈ B 4 ε 281) ‖ λάθη(ι) (T)O (≈ 581) ‖ κ᾽ : τ᾽ A 𝔓998 (== Γ 235 η 314), γ᾽ D ‖ ὀχῆαϲ et 𝔓998 𝔓1013 Eu : ὀχῆα AT, A$^s$ coll. 453s (== 446) ‖ **567** μετοχλήϲειε A¹DTMNO (≈ M 281) ‖ πυλαων 𝔓998 (== M 131) ‖ **568** ἐνὶ φρεϲὶ A$^t$ (= ο 486) ‖



Ω 569 μή ϲε, γέρον, οὐδ᾽ αὐτὸν ἐνὶ κλιϲίῃϲιν ἐάϲω
Ω 570 καὶ ἱκέτην περ ἐόντα, Διὸϲ δ᾽ ἀλίτωμαι ἐφετμάϲ.»
Ω 571 ὣϲ ἔφατ᾽· ἔδδειϲεν δ᾽ ὁ γέρων καὶ ἐπείθετο μύθῳ.
Ω 572 Πηλείδηϲ δ᾽ οἴκοιο λέων ὣϲ ἆλτο θύραζε,
Ω 573 οὐκ οἶοϲ· ἅμα τῷ γε δύω θεράποντεϲ ἕποντο,
Ω 574 > ἥρωϲ Αὐτομέδων ἠδ᾽ Ἄλκιμοϲ, οὕϲ ῥα μάλιϲτα
Ω 575 τῖ᾽ Ἀχιλεὺϲ ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα.
Ω 576 οἳ τόθ᾽ ὑπὸ ζυγόφιν λύον ἵππουϲ ἡμιόνουϲ τε,
Ω 577 > ἐϲ δ᾽ ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντοϲ,
Ω 578 κὰδ δ᾽ ἐπὶ δίφρου εἷϲαν· ἐυϲϲώτρου δ᾽ ἀπ᾽ ἀπήνηϲ
Ω 579 ᾕρεον Ἑκτορέηϲ κεφαλῆϲ ἀπερείϲι᾽ ἄποινα.
Ω 580 κὰδ δ᾽ ἔλιπον δύο φάρε᾽ ἐύννητόν τε χιτῶνα,
Ω 581 ὄφρα νέκυν πυκάϲαϲ δοίη οἶκόνδε φέρεϲθαι.
Ω 582 δμῳὰϲ δ᾽ ἐκκαλέϲαϲ λοῦϲαι κέλετ᾽ ἀμφί τ᾽ ἀλεῖψαι,
Ω 583 νόϲφιν ἀειράϲαϲ, ὡϲ μὴ Πρίαμοϲ ἴδοι υἱόν·
Ω 584 μὴ ὃ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύϲαιτο
Ω 585 παῖδα ἰδών, Ἀχιλῆι δ᾽ ὀρινθείη φίλον ἦτορ,
Ω 586 καί ἑ κατακτείνειε, Διὸϲ δ᾽ ἀλίτηται ἐφετμάϲ.
Ω 587 τὸν δ᾽ ἐπεὶ οὖν δμῳαὶ λοῦϲαν καὶ χρῖϲαν ἐλαίῳ,
Ω 588 > ἀμφὶ δέ μιν φᾶροϲ καλὸν βάλον ἠδὲ χιτῶνα,
Ω 589 αὐτὸϲ τόν γ᾽ Ἀχιλεὺϲ λεχέων ἐπέθηκεν ἀείραϲ·
Ω 590 ϲὺν δ᾽ ἕταροι ἤειραν ἐυξέϲτην ἐπ᾽ ἀπήνην.
Ω 591 ᾤμωξέν τ᾽ ἂρ ἔπειτα, φίλον δ᾽ ὀνόμηνεν ἑταῖρον·
Ω 592 «μή μοι, Πάτροκλε, ϲκυδμαινέμεν, αἴ κε πύθηαι,
Ω 593 εἰν Ἄιδόϲ περ ἐών, ὅτι Ἕκτορα δῖον ἔλυϲα
Ω 594 – πατρὶ φίλῳ, ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα.
Ω 595 – ϲοὶ δ᾽ αὖ ἐγὼ καὶ τῶνδ᾽ ἀποδάϲϲομαι, ὅϲϲ᾽ ἐπέοικεν.»
Ω 596 ἦ ῥα καὶ ἐϲ κλιϲίην πάλιν ἤιε δῖοϲ Ἀχιλλεύϲ·
Ω 597 ἕζετο δ᾽ ἐν κλιϲμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέϲτη,
Ω 598 τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον·
Ω 599 «υἱὸϲ μὲν δή τοι λέλυται, γέρον, ὡϲ ἐκέλευεϲ,

---

**574** ἠδ᾽ et 𝔓998 : τε καὶ F(h)MNV (= 474, == Γ 227) ‖ **576** ἵππουϲ ⟨θ᾽⟩ T (≈ 773) ‖ **578** δίφρου E (≈ 721) ‖ ἐυϲϲώτρου A$^t$A$^m$DTMNOVZ 𝔓1013 (= Scutum 273, Valk 578) : ἐυξέϲτου AEFhM$^t$N$^t$ (~ 275! ζ 75) ‖ ἀπ᾽ : ἐπ᾽ EO 𝔓1013 (== Γ 292 ο 552) ‖ **581** δοίη A$^i$MNO 𝔓1013 : δώ(ι)η(ι) (== β 54, ≈ 583) ‖ **583** ἴδη(ι) TENO (≈ 664) ‖ **584** γόον T$^s$ "ἄμεινον" rat. allata ‖ χόλον οὐ κατερύξει V, κότον οὐ κατερύκοι A$^s$ (cf Δ 542 ἀπερύκοι) ‖ **591** δ᾽ : τ᾽ DEV Eu (== Γ 398) ‖ **595** ὅϲϲ᾽ : ὡϲ E 𝔓1013¹ (== Ψ 50) ‖ **599** ἐκέλευϲαϲ A$^t$Th$^m$O 𝔓1013 (~~ B 28 ≈ 622), ϲὺ κελεύειϲ DEV (= 669) ‖

Ω 600 κεῖται δ' ἐν λεχέεςς'· ἅμα δ' ἠοῖ φαινομένηφι
Ω 601 ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
Ω 602 καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
Ω 603 τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
Ω 604 > ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.
Ω 605 > τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο,
Ω 606 χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
Ω 607 οὕνεκ' ἄρα Λητοῖ ἰςάςκετο καλλιπαρήῳ·
Ω 608 φῆ δοιὼ τεκέειν, ἣ δ' αὐτὴ γείνατο πολλούς.
Ω 609 τὼ δ' ἄρα καὶ δοιώ περ ἐόντ' ἀπὸ πάντας ὄλεσσαν.
Ω 610 οἳ μὲν ἄρ ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν
Ω 611 κατθάψαι, λαοὺς δὲ λίθους ποίησε Κρονίων·
Ω 612 τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ Οὐρανίωνες.
Ω 613 > ἣ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δάκρυ χέουσα.
Ω 614 – νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
Ω 615 – ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
Ω 616 – νυμφάων, αἵ τ' ἀμφ' Ἀχελώιον ἐρρώσαντο,
Ω 617 – ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.
Ω 618 ἀλλ' ἄγε δὴ καὶ νῶι μεδώμεθα, δῖε γεραιέ,
Ω 619 σίτου· ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα
Ω 620 Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται.»
Ω 621 ἦ, καὶ ἀναΐξας ὄιν ἄργυφον ὠκὺς Ἀχιλλεὺς
Ω 622 σφάξ'· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
Ω 623 μίστυλλόν τ' ἄρ ἐπισταμένως πεῖράν τ' ὀβελοῖσιν,
Ω 624 > ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
Ω 625 Αὐτομέδων δ' ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
Ω 626 καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
Ω 627 οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Ω 628 > αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Ω 629 ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα,
Ω 630 ὅςςος ἔην οἷός τε· θεοῖςι γὰρ ἄντα ἐῴκει·
Ω 631 αὐτὰρ ὃ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεύς,
Ω 632 εἰςορόων ὄψίν τ' ἀγαθὴν καὶ μῦθον ἀκούων.
Ω 633 αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,

600 φαινομένη(ι)φι sic Ω ω (≈ Δ 297) ‖ **601** αὐτὸν A[i] (~~ Γ 362 α 7 αὐτ-) ‖ **602** σίτου et Z : δόρπου C (= 601) ‖ **603** τῆι : ἧ(ι) hMN (== Ψ 422, ~~ E 747 γ 140, ≈ A 447 τ-/-) ‖ **604** υἱεῖς A[t] "διχῶς" (=~ B 518), υἱοὶ O ‖ **616** ἀχελήϊον A[s]Z[s], ἀχελήσιον T[s], ἀκελήσιον Hd?/Steph. Byz. 58, 15 ‖ **622** σφάζ' V (≈ 783) ‖ **631** ὃ hab. ADEM[t]N[t] 𝔓998 (= Φ 599, == B 278) ‖



Ω 634 τὸν πρότερος προςέειπε γέρων Πρίαμος θεοειδής·
Ω 635 «λέξον νῦν με τάχιστα, διοτρεφές, ὄφρα καὶ ἤδη
Ω 636 ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες·
Ω 637 οὐ γάρ πω μύσαν ὄςςε ὑπὸ βλεφάροισιν ἐμοῖσιν,
Ω 638 ἐξ οὗ σῇς ὑπὸ χερσὶν ἐμὸς πάις ὤλεσε θυμόν,
Ω 639 ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
Ω 640 αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.
Ω 641 νῦν δὴ καὶ σίτου πασάμην καὶ αἴθοπα οἶνον
Ω 642 λαυκανίης καθέηκα· πάρος γε μὲν οὔ τι πεπάσμην.»
Ω 643 ἦ ῥ'· Ἀχιλεὺς δ' ἑτάροισιν ἰδὲ δμῳῇσι κέλευσε
Ω 644 δέμνι' ὑπ' αἰθούςῃ θέμεναι καὶ ῥήγεα καλὰ
Ω 645 πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
Ω 646 χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι.
Ω 647 αἳ δ' ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι,
Ω 648 αἶψα δ' ἄρ ἐστόρεσαν δοιὼ λέχε' ἐγκονέουσαι.
Ω 649 τὸν δ' ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ω 650 «ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε, μή τις Ἀχαιῶν
Ω 651 ἐνθάδ' ἐπέλθῃσιν βουληφόρος, οἵ τέ μοι αἰεὶ
Ω 652 βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστί.
Ω 653 τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
Ω 654 αὐτίκ' ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
Ω 655 καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένηται.
Ω 656 ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Ω 657 ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
Ω 658 ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω.»
Ω 659 τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Ω 660 «εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ,
Ω 661 ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης·
Ω 662 οἶσθα γάρ, ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ' ὕλη
Ω 663 ἀξέμεν ἐξ ὄρεος, μάλα δὲ Τρῶες δεδίασιν.
Ω 664 ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,

**635** νῦν : δή EO (~= N 276 μ 298) ‖ ... με : μοι EFhO (≈ 672) ‖ καὶ ADO 𝔓1013 : κεν (== E 394 δ 294) ‖ **636** παυσώμεθα ATV Ar[t]+ (↖ δ 295) ‖ **642** λευκανίης DFMN 𝔓1013[i] (== X 325) ‖ μεθέηκα E (≈ A 434 γ 205) ‖ **648** ἄρα στόρεσαν ATN Ar[t]+ (≈ 793) ‖ **650** εντος 𝔓1008 (== φ 178, ↖ Ω 682ss) ‖ **655** γένοιτο DNO 𝔓1013 Eu (== 436 γ 129) ‖ **656** ἀγόρευσον hMNN[t] (== K 384 α 206) ‖ **661** ῥέξας V Eu (≈ 802) ‖ **662** υλη(ν) 𝔓1013 (≈ B 53 β 126) ‖ **663** δὲ AA[t]DTE 𝔓1008 𝔓1013 (= M 51) : γὰρ et Ar[t] (= P 67, == B 791 ρ 262) ‖ **664** γοοωμεν 𝔓1013, Bekker (≈ 672, cf τ 119 γοόωντα) ‖

\> τῇ δεκάτῃ δέ κε θάπτοιμεν δαινῦτό τε λαός,
\> ἑνδεκάτῃ δέ κε τύμβον ἐπ' αὐτῷ ποιήσαιμεν,
τῇ δὲ δυωδεκάτῃ πτολεμίξομεν, εἴ περ ἀνάγκη.»
\>     τὸν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
«ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡς σὺ κελεύεις·
σχήσω γὰρ πόλεμον τόσσον χρόνον ὅσσον ἄνωγας.»
ὣς ἄρα φωνήσας ἐπὶ καρπῷ χεῖρα γέροντος
ἔλλαβε δεξιτερήν, μή πως δείσει' ἐνὶ θυμῷ.
οἳ μὲν ἄρ ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο,
κῆρυξ καὶ Πρίαμος πυκινὰ φρεσὶ μήδε' ἔχοντες·
αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου·
τῷ δὲ Βρισηὶς παρελέξατο καλλιπάρηος.
    ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·
ἀλλ' οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτεν
ὁρμαίνοντ' ἀνὰ θυμόν, ὅπως Πρίαμον βασιλῆα
νηῶν ἐκπέμψειε, λαθὼν ἱεροὺς πυλαωρούς.
στῆ δ' ἄρ ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
«ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακόν, οἷον ἔθ' εὕδεις
ἀνδράσιν ἐν δηίοισιν, ἐπεί σ' εἴασεν Ἀχιλλεύς.
καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας·
σεῖο δέ κεν ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
παῖδές τοι μετόπισθε λελειμμένοι, αἴ κ' Ἀγαμέμνων
γνώῃ σ' Ἀτρείδης, γνώωσι δὲ πάντες Ἀχαιοί.»
    ὣς ἔφατ', ἔδδεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη.
τοῖσιν δ' Ἑρμείας ζεῦξ' ἵππους ἡμιόνους τε·
ῥίμφα δ' ἄρ αὐτὸς ἔλαυνε κατὰ στρατόν, οὐδέ τις ἔγνω.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυρρεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον.
    Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν,
οἳ δ' εἰς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε
ἵππους, ἡμίονοι δὲ νέκυν φέρον. οὐδέ τις ἄλλος

---

**670** τόσσον πόλεμον AF Eu (≈ Δ 283 δ 100) ‖ **672** δεξιτερη(ι) 𝔓1013(c) (≈ 710) ‖ δείση(ι) (FE)hMNOV Eu (≈ 688) ‖ **676** δὲ et Am : δ' ἄρα AO (𝔓998i αρ) 𝔓1008 (~= I 324) ‖ **681** πυλαουρους 𝔓998, (~~ Hdt. 3, 72, 5, ↖ Φ 530) ‖ **687** τοὶ AT1 𝔓1013 ‖ **688** γνοίη AEFNi (≈ 717, ~~ Ψ 487, == ρ 556) ‖ **693** (= Φ 2) hab. EhMV ed. pr. : om. et 𝔓998 𝔓1013 ‖ **697** φέρον et At (= ζ 83) : ἄγον AOV 𝔓998 Eu (= N 657, ~~ O 743) ‖



ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν,
ἀλλ' ἄρα Κασσάνδρη, ἰκέλη χρυσῇ Ἀφροδίτῃ,
Πέργαμον εἰσαναβᾶσα φίλον πατέρ' εἰσενόησεν,
ἑσταότ' ἐν δίφρῳ, κήρυκά τε ἀστυβοώτην·
τὸν δ' ἄρ ἐφ' ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι.
κώκυσέν τ' ἄρ ἔπειτα γέγωνέ τε πᾶν κατὰ ἄστυ·
\> «ὄψεσθε, Τρῶες καὶ Τρῳάδες, Ἕκτορ' ἰόντες,
εἴ ποτε καὶ ζώοντι μάχης ἐκνοστήσαντι
χαίρετ', ἐπεὶ μέγα χάρμα πόλει τ' ἦν παντί τε δήμῳ.»
    ὣς ἔφατ', οὐδέ τις αὐτόθ' ἐνὶ πτόλεϊ λίπετ' ἀνὴρ
οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος·
ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.
πρῶται τόν γ' ἄλοχός τε φίλη καὶ πότνια μήτηρ
τιλλέσθην, ἐπ' ἄμαξαν ἐύτροχον ἀίξασαι,
ἁπτόμεναι κεφαλῆς· κλαίων δ' ἀμφίσταθ' ὅμιλος.
καί νύ κε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἕκτορα δάκρυ χέοντες ὀδύροντο πρὸ πυλάων,
εἰ μὴ ἄρ ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα·
«εἴξατέ μοι οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα
ἄσεσθε κλαυθμοῖο, ἐπὴν ἀγάγωμι δόμονδε.»
    ὣς ἔφαθ', οἳ δὲ διέστησαν καὶ εἶξαν ἀπήνῃ.
οἳ δ' ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα
τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ' εἶσαν ἀοιδοὺς
\> θρήνων ἐξάρχους, οἵ τε στονόεσσαν ἀοιδὴν
οἳ μὲν ἄρ ἐθρήνεον, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
τῇσιν δ' Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο,
Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα·
«ἆνερ, ἀπ' αἰῶνος νέος ὤλεο, κὰδ δέ με χήρην
λείπεις ἐν μεγάροισι· πάις δ' ἔτι νήπιος αὔτως,
ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω

---

**701** (om. O) ἑσταῶτ' F, ἑστεῶτ' DMcN Art, ↖ Nt (== χ 130) ‖ **706** πόλι Ar/MtNt (≈ B 648) ‖ **710** τόν : τῶν T (== K 235, =~ ξ 178), τῶ(ι) F (≈ A 258 α 51) ‖ **711** ἐπ' ἄμαξαν ADTEV 𝔓998, Hds ad Σ 487s : ἐφ' ἄμαξαν (~~ 782) ‖ **717** ἄσασθε AhMN (≈ 778), ἄσασθαι T (≈ Σ 334 modus, ≈ A 20 η 222 imp./inf.) ‖ ἀγάγωμι D, Et.M. 54, 43 : ἀγάγοιμι (≈ A 64 β 31) ‖ πόλιν δέ At (= ρ 375!) ‖ **721** θρήνων hMO Eu, Plut. de Hom. 2, 147 : θρήνους et 𝔓998 𝔓1013 (≈ A 197 δ 380) ‖ ... ἐξάρχους' AFhNOV (≈ B 345 α 404) ‖ **722** μὲν δὴ θρήνεον AtDV (~ O 3, ≈ A 15 δ 39 augm.) ‖ **723** τοῖσι(ν) (AtM)NO (= Ψ 17, == 747) ‖ **724** ἀνδροφόνοιο (= P 638) : ἱπποδάμοιο DMtNtV 𝔓998 𝔓1013 (= 804, == I 351) ‖ **725** νέον Zet (≈ A 535 β 149) ‖ **726** δ' ἔτι AtDFMN (= X 484!, Ruijgh 702) : δέ τοι O, δέ τε (== K 161 δ 497) ‖

Ω 728 ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἥδε κατ' ἄκρης
Ω 729 > πέρσεται. ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅς τέ μιν αὐτὴν
Ω 730 > ῥύσκευ, ἔχες δ' ἀλόχους κεδνὰς καὶ νήπια τέκνα.
Ω 731 αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇσι,
Ω 732 καὶ μὲν ἐγὼ μετὰ τῇσι. σὺ δ' αὖ, τέκος, ἢ ἐμοὶ αὐτῇ
Ω 733 ἕψεαι, ἔνθα κεν ἔργα ἀεικέα ἐργάζοιο
Ω 734 ἀθλεύων πρὸ ἄνακτος ἀμειλίχου, ἤ τις 'Αχαιῶν
Ω 735 > ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου, λυγρὸν ὄλεθρον,
Ω 736 χωόμενος, ᾧ δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ
Ω 737 ἢ πατέρ' ἠὲ καὶ υἱόν, ἐπεὶ μάλα πολλοὶ 'Αχαιῶν
Ω 738 Ἕκτορος ἐν παλάμῃσιν ὀδὰξ ἕλον ἄσπετον οὖδας.
Ω 739 οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαῒ λυγρῇ.
Ω 740 τῶ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ,
Ω 741 > ἄρρητον δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας,
Ω 742 Ἕκτορ· ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά.
Ω 743 οὐ γάρ μοι θνῄσκων λεχέων ἐκ χεῖρας ὄρεξας,
Ω 744 οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ
Ω 745 μεμνήμην νύκτας τε καὶ ἤματα δάκρυ χέουσα.»
Ω 746 ὣς ἔφατο κλαίους', ἐπὶ δὲ στενάχοντο γυναῖκες.
Ω 747 τῇσιν δ' αὖθ' Ἑκάβη ἁδινοῦ ἐξῆρχε γόοιο·
Ω 748 «Ἕκτορ, ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε παίδων·
Ω 749 ἦ μέν μοι ζωός περ ἐὼν φίλος ἦσθα θεοῖσιν,
Ω 750 οἳ δ' ἄρα σεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
Ω 751 ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς 'Αχιλλεὺς
Ω 752 > πέρνασχ', ὅν τιν' ἕλεσκε, πέρην ἁλὸς ἀτρυγέτοιο,
Ω 753 > ἐς Σάμον ἔς τ' Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν·
Ω 754 σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχὴν ταναήκεϊ χαλκῷ,
Ω 755 πολλὰ ῥυστάζεσκεν ἑοῦ περὶ σῆμ' ἑτάροιο
Ω 756 Πατρόκλου, τὸν ἔπεφνες, ἀνέστησεν δέ μιν οὐδ' ὥς,
Ω 757 > νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος ἐν μεγάροισι
Ω 758 κεῖσαι, τῷ ἴκελος, ὅν τ' ἀργυρότοξος 'Απόλλων
Ω 759 οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν.»

---

735 λοιγὸν (= 489, ~ Θ 130) fort. *contul.* M$^t$N$^t$ ‖ 736 ὧι δὴ A$^{ch}$ : ὧι τινι δὴ! et 𝔓1013 ‖ 741 ἄρρητον hO : ἀρητὸν et (Z) 𝔓1013 (== P 37) ‖ 745 μεμνήμην h Eu (Schwyzer 795) : μεμνήμην ‖ 747 τοῖσι(ν) D(M) (≈ B 204 γ 178) ‖ 752 ἔλησι A$^t$ (~ Ψ 345, ≈ Θ 270) ‖ 753 [ἀ]μιχθαλόεσσαν Antim.$^T$, Hesychius "ἀλίμενος" (↖ Dict., ≈ Λ 754 κ 161) ‖ 757 ἐρσήεις dNV : ἑρσήεις (== 419app.) ‖ 759 ἀγανοῖσι βέλεσσι(ν) A$^t$T$^λ$(V 𝔓998 𝔓1013) (≈ Γ 51, == ε 124, ↖ B 189) ‖ καταπέφνηι A$^t$MNO(V) 𝔓1013 (≈ A 175 α 316) ‖



Ω 760 ὣς ἔφατο κλαίουσα, γόον δ' ἀλίαστον ὄρινε.
Ω 761 τῇσι δ' ἔπειθ' Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
Ω 762 «Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε πάντων·
Ω 763 ἦ μέν μοι πόσις ἐστὶν 'Αλέξανδρος θεοειδής,
Ω 764 > ὅς μ' ἄγαγε Τροίηνδ'· ὡς πρὶν ὤφελλον ὀλέσθαι.
Ω 765 > ἤδη γὰρ νῦν μοι τόδ' ἐεικοστὸν ἔτος ἐστίν,
Ω 766 ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
Ω 767 ἀλλ' οὔ πω σεῦ ἄκουσα κακὸν ἔπος οὐδ' ἀσύφηλον·
Ω 768 ἀλλ' εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
Ω 769 δαέρων ἢ γαλόων ἢ εἰνατέρων εὐπέπλων,
Ω 770 ἢ ἑκυρή – ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί –,
Ω 771 ἀλλὰ σὺ τόν γ' ἐπέεσσι παραιφάμενος κατέρυκες
Ω 772 σῇ τ' ἀγανοφροσύνῃ καὶ σοῖς ἀγανοῖς ἐπέεσσι.
Ω 773 τῶ σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ·
Ω 774 οὐ γάρ τίς μοι ἔτ' ἄλλος ἐνὶ Τροίῃ εὐρείῃ
Ω 775 ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν.»
Ω 776 ὣς ἔφατο κλαίους', ἐπὶ δ' ἔστενε δῆμος ἀπείρων.
Ω 777 λαοῖσιν δ' ὁ γέρων Πρίαμος μετὰ μῦθον ἔειπεν·
Ω 778 > «ἄξετε νῦν, Τρῶες, ξύλα ἄστυδε, μηδέ τι θυμῷ
Ω 779 δείσητ' 'Αργείων πυκινὸν λόχον· ἦ γὰρ 'Αχιλλεὺς
Ω 780 > πέμπων μ' ὧδ' ἐπέτελλε μελαινάων ἀπὸ νηῶν,
Ω 781 μὴ πρὶν πημανέειν, πρὶν δωδεκάτη μόλῃ ἠώς.»
Ω 782 ὣς ἔφαθ'· οἳ δ' ὑπ' ἀμάξῃσιν βόας ἡμιόνους τε
Ω 783 ζεύγνυσαν, αἶψα δ' ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο.
Ω 784 ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην·
Ω 785 ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
Ω 786 καὶ τότ' ἄρ ἐξέφερον θρασὺν Ἕκτορα δάκρυ χέοντες,
Ω 787 ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἐν δ' ἔβαλον πῦρ.
Ω 788 ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Ω 789 τῆμος ἄρ ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἔγρετο λαός.

---

760 ὄρινε : ἔγειρε dM 𝔓1013 (= Υ 31, ~= Ψ 234), ἔθηκε N (~ 741) ‖ 761 τῇσι δ' αὖθ' Fh (~ 747) ‖ 764 ὤφελλ' ἀπολέσθαι A$^m$dFT$^λ$, ↖ T$^s$ (= H 390) ‖ 765 τόδε εἰκοστὸν dThOVZ$^s$ (~~ ω 322) ‖ 768 ἐνίσποι TO, ἐνίπποι dV (cf Ψ 473 ἐνένιπεν, ~~ Γ 438), ἐνίσσοι A$^t$ (~ 238) ‖ 770 αἰεὶ : ἦεν (A$^t$)MN 𝔓1013$^m$ (= β 47) ‖ 773 σε [θ'] ἅμα F 𝔓1013 (≈ 793), σε μάλα V (~~ τ 158) ‖ καὶ ἐμὸν μόρον T$^s$ (= X 280, == Z 408) ‖ 778 ἄξατε F 𝔓1013$^i$ (~~ Θ 505) ‖ 782 ὑπ' ἀμάξῃσιν ATF$^c$, Hd$^s$ ad Σ 487 : ὑφ' ἀμ- (~~ M 448) ‖ 783 ζεύγνυον TMN (== T 393, ≈ A 189 β 72) ‖ 785 ῥοδοδάκτυλος ἠὼς A$^t$TF$^1$ 𝔓1013 (= 788) ‖ 787 (nec 786!) ἀχνύμενοι κῆρ A$^t$ (= Ψ 165!) ‖ 789 ἔγρετο Ω (= H 434, cf Leaf) : ἤγρετο Voss ‖

αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο,
πρῶτον μὲν κατὰ πυρκαϊὴν ϲβέϲαν αἴθοπι οἴνῳ
πᾶϲαν, ὁπόϲϲον ἐπέϲχε πυρὸϲ μένοϲ· αὐτὰρ ἔπειτα
ὀϲτέα λευκὰ λέγοντο καϲίγνητοί θ' ἕταροί τε
μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
καὶ τά γε χρυϲείην ἐϲ λάρνακα θῆκαν ἑλόντεϲ,
πορφυρέοιϲ πέπλοιϲι καλύψαντεϲ μαλακοῖϲιν·
αἶψα δ' ἄρ ἐϲ κοίλην κάπετον θέϲαν, αὐτὰρ ὕπερθε
πυκνοῖϲιν λάεϲϲι κατεϲτόρεϲαν μεγάλοιϲι.
ῥίμφα δὲ ϲῆμ' ἔχεαν· περὶ δὲ ϲκοποὶ εἵατο πάντῃ,
μὴ πρὶν ἐφορμηθεῖεν ἐυκνήμιδεϲ Ἀχαιοί.
χεύαντεϲ δὲ τὸ ϲῆμα πάλιν κίον· αὐτὰρ ἔπειτα
εὖ ϲυναγειρόμενοι δαίνυντ' ἐρικυδέα δαῖτα
δώμαϲιν ἐν Πριάμοιο διοτρεφέοϲ βαϲιλῆοϲ.
ὣϲ οἵ γ' ἀμφίεπον τάφον Ἕκτοροϲ ἱπποδάμοιο.

ΤΟΜΕΑΣ ΚΛΑΣΙΚΩΝ ...

**790** (= β 9) hab. dFhMNO, Aldus : om. ATV 𝔓1013 Eu, ed. pr. ‖ **793** λευκ ελεγοντο 𝔓1013 (≈ Α 162 γ 9) ‖ καϲίγνητοι [θ'] dFhMOV Eu (≈ Β 161 α 152) ‖ **796** καθάψαντεϲ $T^s$ ‖ **799** ἔχεον T, ἔχευαν dO$M^t$ (= Ψ 256), χεῦαν MN (=== Σ 347) ‖ **800** ἐφορμήϲειαν V (~ Δ 335, ≈ Γ 154 α 175) ‖ **802** ϲυναγειράμενοι $A^iV$ 𝔓1013 (≈ Α 600 β 422), διαγειράμενοι MN, ⌐ $M^tN^t$ ‖ **804** ἱπποδάμοιο Ω : ἦλθε δ' ἀμαζών, ἄρηοϲ θυγάτηρ μεγαλήτοροϲ ἀνδροφόνοιο $T^s$, ηλθε δ' αμαζων οτρηριϲ⌋ θυγατηρ ευειδηϲ πενθεϲιλεια 𝔓643, col. 22 (e Cyclo Iliaco, cf A 1-9 app.) ‖